BIBLIOTECA NAZ.
ROMA
VITTORIO EMANUELE

47 44

Haganoæ, per Iohan. Secer. Anno
M. D. XXXI. Menſe Iulio.



ναι. εἶτ᾽ ἐκεῖ ξενίας ἀπὸ τύχης πετυχηκότα παρὰ τῆς τοῦ βασιλεύοντος θυγατρὸς ἀλκινόου. εἶτα καὶ πρὸς αὐτοῦ τοῦ ἀλκινόου. καὶ τῆς γυναικός. καὶ πολλοῖς γε δώροις φιλοφρονηθέντα, ἐκεῖθεν ἀπήμονα κατειληφέναι τὴν πατρίδα μετὰ τῶν φιλάτων. καὶ οὐδὲ ταῦτα ἀπονητὶ ἀπολαβόντα. ἀλλὰ σὺν ἀγῶνι μάλιστα οὐκ ἀγεννεῖ. ἀπεκτονότα τοὺς βιαίους καὶ ἀδίκους μνηστῆρας τῆς σώφρονος πηνελόπης. καὶ τῆς ἐπιβουλῆς ἐκείνων ἐξαρπάσαντα. καὶ ταῦτα μὲν ὁ μῦθος. Ὁ νοῦς δ᾽ ὡς ἐγῷμαι ὀδυσσέα βούλεται εἶναι πάντ᾽ ἄνθρωπον, ὑπὸ συμφορᾶς τι πεπλημηκότα τῶν φαύλων καὶ αἰσχρῶν ἡδονῶν. οἰμώζοντα δ᾽ ὅμως ἐπὶ τῷ πάθει. καὶ ἀεί γε ἀνακλαιόμενον. ἐπὶ τὴν σύντροφον σωφροσύνην καὶ τὰ τῆς ψυχῆς ἤθη ἐπανελθεῖν. μόλις δὲ θειοτέρᾳ προνοίᾳ σφοδρότερον ἐπιτετιμηκότα τῇ φαύλῃ καὶ ἀκολάστῳ.

Et hæc huius fragmenti reſtabant, cæ-tera deperdita ſunt.

ὀκτὼ ἔτεσι. τὸν δέ γε ὑπ' ἀνάγκης συγκαθεύδειν μὲν τῇ νύμφῃ παρ' ἐθελούσῃ οὐκ ἐθέλοντα νύκτωρ. ἡμέρας δὲ καθ' αὑτὸν ὀδύρεσθαι, καὶ πρὸς τὸν πόντον καὶ τὴν πηνελόπην ὁρᾶν ἔνδακρυν. οὕτω δὲ ἔχοντος τοῦ δυστυχοῦς τοὺς θεοὺς οἰκτίσασθαι τὴν συμφοράν. καὶ αὐτίκα πέμπεσθαι τῇ καλυψοῖ τὸν ἑρμῆν. ἣ μὴν ἐκπέμψαι τὸν ἄνθρωπον ἐκ τῆς νήσου ταχέως σὺν οὐδενὶ τῷ κακῷ. ἢ καὶ αὐτὴν τὰ χείριστα πείσεσθαι πρὸς τῶν θεῶν κατελπίζειν. πρὸς ταῦτα, εἰ καὶ σὺν ἀηδίᾳ, εἶξασαν δ' οὖν ὅμως τῷ κελεύσματι, ἐπεὶ μὴ ναῦς παρῆν, ἐπὶ σχεδίας δὲ πεῖσαι τὸν ὀδυσσέα ἀναβῆναι. καὶ καλῶς τόν τε πλοῦν διαθεῖσαν καὶ τὰ τῇ πομπῇ προσήκοντα, ἀναστρέψαι ἐπὶ τὸ ἄντρον. τὸν δὲ ἀρξάμενον πλεῖν, ἐπιβεβουλεῦσθαι, πρὸς τοῦ ἐξάρχης ὀργιζομένου δαίμονος. καὶ τὴν μὲν σχεδίαν κατὰ μέσην ἐκταραχθῆναι τὴν θάλασσαν σφοδροτέροις τοῖς πνεύμασι. αὐτὸν δὲ ἐφ' ἑνὶ ξύλῳ τῆς σχεδίας πεσόντα. καὶ τὰς χεῖρας ἐπὶ τὸ πέλαγος πετάσαντα, πλεῖν· ὀψὲ δὲ πολλὰ παθόντα κατὰ τὴν θάλατταν γυμνὸν καὶ αὖθις. καὶ παντοῖα περικείμενον συμφορᾶς εἴδη, ἐπὶ τὴν τῶν Φαιάκων γῆν ἐκειφῆ-

πλοῦν. ὁ πρὸς τὰ κυμαίνοντα ὁρᾷ τῆς κακίας πνεύματα. οὕτω δ' ἔχων καὶ ἀνδρικός τις ὤν μή τι πάθοι τῶν δεινῶν ὑπὸ τῶν αἰσχρῶν ἐκείνων ἐπιθυμιῶν, ἥκιστα παράττεται τοῖς ὀδοῦσι τῆς ὑπερηφάνου προαιρέσεως, κἂν πλησίον παροικοῦσα φοβερόν τι ὑλακτῇ καὶ ἄγριον. ὁ μετεωρίζειν ἐγχειρῶν τὸν σκόπελον κατὰ τὴν σκύλλαν. οὐδὲ γὰρ τοῖς ὀχλουμένοις ὑπὸ τοῦ σφοδροῦ ἐκείνου κλύδωνος τῶν τῆς σαρκὸς παθῶν, ὁ κακὸς ἐκεῖνος σκόπελος τῆς ὑπερηφανίας λυμαίνεται. ἀλλὰ τὸν ἐν χερσὶν ὑφορωμένοις κίνδυνον, κάτω πείθει διαβλέπειν. καὶ τὰ μάλιστα μετριάζειν τὸ τετυφωμένον ἀποπτύοντας τοῦ φρονήματος.

κʹ Καὶ τοιαύτην τὴν πλάνην προσπλάττει ἡ ποίησις τῷ ὀδυσσεῖ ναυαγήσαντι, ἡνίκα γυμνός τις καὶ ἀλήτης εἰς τὴν ὠγυγίαν ἀπενήξατο νῆσον. τὴν γοῦν καλυψὼ φησιν νύμφην ἐνοικοῦσαν τῇ χώρᾳ, πρώτην ἐπὶ τὴν ἀκτὴν ἀφιγμένην, τὸν ἄνδρα ἐκριφέντα εὑρεῖν καὶ ἀναλαβεῖν ἐπὶ τὸ ἄντρον. καὶ δαψιλῶς φιλοφρονήσασθαι ἐπιμελεῖσθαι τε αὐτοῦ ὅσα καὶ ἀνδρὸς γνησίου, ἐπὶ

ὀκτὼ

γιον ὑπομεμενηκότα ἄνθρωπον. καὶ τῇ δεινῇ χαρύβδει τῶν τῆς σαρκὸς ἐπιθυμιῶν, ἀνοήτως προσδεδμένον. ἥτις συχνάκις ἀναβρασσομένη, καὶ ὑψοῦ τὰ πονηρὰ τῶν παθῶν τινάσσουσα κύματα, ὑποβρύχιον ποιεῖ τὸν ὑπ' αὐτῆς κλυδωνιζόμενον. ἀλλ' εἰ κατ' ὀδυσσέα παρ' αὐτὰ γενόμενος τὰ δεινὰ σωφρονεστέροις λογισμοῖς ἀναλάβοι, αὐτίκα τῷ κινδύνῳ ἀντικαθίσταται. καὶ τῶν πονηρῶν κυμάτων αἰρομένων, οὐκ ἀργῶς λοιπόν. οὐδ' ἀπραγμόνως ἔχει. ἀλλὰ πρὶν βίᾳ κατασπασθῆναι ὑπὸ τῆς ἐνύγρου τῶν παθῶν φλογὸς καὶ εἰς βυθὸν κακίας ἐνεχθῆναι, ἰσχυρῶς ἀντιλαμβάνεται θείου φόβου καὶ δικαιοσύνης. ἅπερ ἀφ' ὑψηλοῦ τῇ πονηρίᾳ ἀντικείμενα ὥσπερ ἡ ἐρινεὸς, ὀρέγει ἄντικρυς χεῖρα τοῖς τῷ κλύδωνι καταχεθεῖσι τῶν φαύλων τῆς σαρκὸς κινήσεων. οὐκ ὧν καὶ ὃν πρότερον βίον ἀπώλεσε σεμνόν τε καὶ θεῖον. καὶ μεθ' οὗ τὸν κατὰ τὸν βίον στενωπὸν διέπλει, ἀναλαμβάνει αὐτίκα. τὸ δ' ἐντεῦθεν, κοῦφός τε καὶ ἀκινδύνως, τοῖς τῶν πειρασμῶν κύμασιν ἐπινήχεται. ἐναγώνιος μέν τοι καθιστάμενος ἀεὶ καὶ ὕποπτος, ἕως τὸν τῆς σαρκὸς διέρχεται

δήσαντα ἐπινήχεσθαι. ἄνεμον δὲ ὅμως γενέσθαι νότον τῷ ἀνδρὶ ἀντίπρωρον, ὥστε καὶ αὖθις βιασθῆναι διαμετρῆσαι τὴν χάρυβδιν. καὶ δή γε πρὸς αὐτῷ δὴ μάλα ὄντος τῷ δεινῷ, ἀναρροιβδῆσαι τὴν θάλασσαν ὡς εἰώθει. τὸν δὲ αὐτίκα ἐπαρθῆναι τῷ μεγάλῳ κύματι, πρὸς τὸν μέγαν ἐρινεὸν ἀφηρημένον τὴν σχεδίαν. καὶ ὥσπερ τινα νυκτερίδα τούτῳ προσφῦναι. οὔτε ἀπέχοντα στηρίξαι τοὺς σφετέρους πόδας, οὔτε δὲ βῆναι. μακρὰν γὰρ εἶναι τὰς ἐκείνου ῥίζας. τοὺς δὲ κλάδους, μακρούς γε καὶ αὐτοὺς ἀπῃωρημένους τὴν χάρυβδιν κατασκιάζοντας. ὧν δὴ καὶ ἀσφαλῶς μάλα ἔχεσθαι, ἕως ἂν ὄπισθεν τὰ κατὰ τοῦ βυθοῦ εἰσδῦντα ξύλα. ἐξεμεθείη. ὀψὲ δὲ οἱ ταῦτα φανῆναι. οἷς δὴ ἐκείνου ἐπικαθιζόμενον, οἱάπερ κώπαις ταῖς χερσὶ, τὴν θάλατταν ἐρέττειν. τὴν μέντοι σκύλλαν παρελθεῖν οὐδαμῶς ἰδοῦσαν ἐκ θείας δηλαδὴ προνοίας. καὶ οὕτω δὴ ἐννῆμαρ τῷ πελάγει ἐμφέρεσθαι, πάντα τὰ δεινὰ ἐκ ναυαγίου ὑφιστάμενος. καὶ ἃ μὲν φησὶν ἡ ποίησις, τοιαῦτα. νοεῖν δὲ πάρεστι κἀνθάδε, ὀδυσσέα μὲν τὸν κατὰ τοὺς λογισμοὺς ναυά-

γιον

θρώπους, σέβειν ἀεὶ δήποτε τὸν θεόν. καὶ περὶ τὰ θεῖα πράγματα διευλαβεῖσθαι. κἂν βία τις ἐπαναγκάζῃ τοῦ καιροῦ. κἂν δεινοῦ τινος ἐπιφέρεια προσώπου. κἂν τοῦ παντός γε τὰ δεινότατα διαπειλῇ τῆς ἀκριβείας ἀμελῆσαι. καὶ γὰρ δεύτερα θεῷ τῆς πρὸς αὐτὸν ἀτιμίας τὰ πάντα νομίζεται, ὅσα τις φανείη πλημμελήσας. εἰ δὲ καὶ αἴσθησιν τοῖς κρέασι καὶ τοῖς ῥινοῖς περιάπτειν τάγε τῆς ποιήσεως βούλεται, ἀλλ' ἐκεῖνο πρὸ τοῦ παντὸς δεῖξαι βούλεται. ὡς γὰρ πᾶσα μὲν αἰσχίων πρᾶξις, πανταχοῦ βοᾷ τὴν τοῦ ποιήσαντος παρανομίαν. ἡ δὲ τῶν ἐπιόρκων ἢ ἱεροσύλων τοσούτῳ μάλιστα, ὅσῳ καὶ εἰς αὐτὸ τὸ θεῖον ἀναφέρει τὸ δεινόν. κἄν ποτε μὴ παραπόδας τὰ τῆς δίκης ἕρπῃ, ἀλλ' οὐ πολύ γε ὕστερον ἥξει, ὥσπερ καὶ θάνατόν τε μαρτυροῦσιν οἱ τοῦ ὀδυσσέως ναυαγήσαντες ἑταῖροι.

Λέγεται τῇ ποιήσει, δεινόν τινα καὶ παγχάλεπον ἆθλον ὑποστῆναι τὸν ὀδυσσέα κατὰ τὴν χάρυβδιν· τῆς γὰρ νεὼς αὐτοῦ θαλάττῃ διαφθαρείσης μήνιδι πρὸς τοῖς ἑταίροις, ὑπ' ἀμηχανίας τὸν ἱστὸν τῇ τρόπει ἰσχυρῶς συν-

ρίνους. μεμυκέναι δὲ τὰ κρέατα ἐν ὀβελοῖς, καὶ φωνὴν δὲ τούτων γίνεσθαι, ὁποία πρὸ τοῦ τεθνηκέναι. ὅμως δὲ καὶ οὕτω τοι ἐξ ἤμαρ τὰ δεινὰ τολμᾶσθαι τοῖς ἀθλίοις. ἑβδόμης δὲ, ἐπιπαῦσθαι μὲν οὖν ἄνεμον. γενέσθαι δ' ἄλλον, ὃν αὐτοί γε ἤθελον. τοὺς δὲ πετάσαντας αὐτίκα τὰ ἱστία, πλεῖν. οὐ δὲ ἐντεῦθεν, πλεῖστον ὅσον τὴν νῆσον ἀπολελοιπότων, ζέφυρον πνεῦσαι σὺν μεγάλῃ λαίλαπι, καὶ κεραυνὸν ἄνωθεν δυσώχεσι καταπεμφθῆναι. οὐ μέντοι κυβερνήτην ἱστῷ πληγέντα τὴν κεφαλὴν πρότερον καταχλασθέντι, ἅτε δὴ καὶ πρότερον κακῶς ἀρξάμενον βολῆς, αὐτόν τε δὴ καὶ τοὺς ἄλλους ἅπαντας, εἰς τὴν θάλασσαν ἐκπεσεῖν. οὐ τοίνυν ὀδυσσέα, ὅτι δὴ καὶ δράσειεν ἀπειρούμενον, συχνότερον φοιτᾶν διὰ τῆς νεὼς, ἕως ὁ δεινὸς ἐκεῖνος κλύδων τὰ τείχη τῆς τρόπιος ἐξέλυσε. οὐ δὲ ἅμα τῷ ἱστῷ ἱμάντι τὴν τρόπιν καταδήσαντα, ἐπιβεβηκέναι. καὶ τοῖς κύμασιν ἀφεῖναι φέρεσθαι. καὶ ἃ μὲν φησὶν ὁ μῦθος, ταῦτα. πάρεστι δὲ νοεῖν ἐνθάδε καὶ οὖν ἠλίθιον αὐτὸν, οἵας δίκας ἱεροσύλους τε καὶ ἐπιόρκους πράττεται ἡ ποίησις. καὶ ὡς διδάσκειν βούλεται ἅπαντας ἀν-

θρώποις,

κοιμηθέντων, νύκτα ἄνεμον πνεῦσαι σὺν λαί-
λαπι μάλα σφοδρᾷ. καὶ τὸν πλοῦν ἀποπαῦ-
σαι. καὶ τότ' ἂν τὸν ὀδυσσέα δημηγορῆσαι, μηδ'
ἄν τι πάθη γένηται, τῶν θείων κτημάτων ἅψασθαι,
προσέτι δὲ καὶ ἀπειλὴν ἐπιθεῖναι. τοὺς δὲ, τέ-
ως μὲν πείθεσθαι. νότου δὲ ἄληκτον πνέοντος,
καὶ τῶν ἐν τῇ νηῒ βρωμάτων ἐκλελοιπότων, ἄλ-
λον ἐπ' ἄλλῳ τρέπεσθαι. νῦν μὲν ὄρνιθας ἀ-
γρεύοντα. νῦν δὲ ἰχθυῶντα. τείρεσθαι δ' ὅ-
μως καὶ ταύτῃ γε τῷ λιμῷ. πρὸς ὅπερ ἀμηχα-
νοῦντα τὸν ὀδυσσέα, ἀνὰ τὴν νῆσον ἰέναι εὔξα-
σθαι. εἴ τις αὐτῷ θεόθεν φανείη μηχανή. τοὺς
δ' ὑπ' ἀπορίας ἅψασθαι τῶν ἱερῶν βοῶν. καὶ
σφάξαι καὶ κατατεμεῖν. τοῖς ὀβελοῖς περιπεῖ-
ραι. ἑλομένους μᾶλλον πάντα τὰ δεινὰ πα-
θεῖν ὑπὸ θεοῦ, ἢ λιμοῦ θανάτῳ ἀπολέσθαι,
ὅς ἐστι παντὸς θανάτου χείριστος. ὑποστῆναι
μέντοι εἰ σωθεῖεν, καὶ νεὼν ἱδρύσασθαι αὐτῷ.
καὶ ἀγάλματα πολλά τε ἀναθήσειν. ἐν τούτῳ
δὲ παραγενόμενον τὸν ὀδυσσέα εὑρεῖν ἐκείνους
πάντα δὴ τὰ φοβερὰ τετολμηκότας καὶ ἐποι-
μῶξαι τῷ δεινῷ. καὶ μάλιστα, ὅτι καὶ τέρατα
ἴδοι ἐπὶ ταῖς βουσί. ἕρπειν μὲν γὰρ αὐτίκα τὰς

μέντοι πρὸς τούτοις τοῖν δυοῖν σκοπέλοιν εἰκάζεσθαι, τά τε παρὰ τῆς γνώμης ἡμῖν συμβαίνοντα ἑκουσίως, καὶ τὰ παρὰ τῆς ὕλης ἔξωθεν δυσχερῆ· ἅπερ ἢ ἑκάτερα πάσχομεν, ἢ δυοῖν ἕτερον ἐξ ἀνάγκης· περιελθεῖν δ' οὐκ ἔνι ἀμφότερα τὸν εἰς γένεσιν ἥκοντα. ὥσπερ οὐδ' ὀδυσσεύς.

ι΄ Καὶ τοιαύτην πλάνην ὑποστῆναι τὸν ὀδυσσέα φασί. νῆσος ἐστὶ θρινακία πρὸς τὰ ἑσπέρια. σικελίαν ἡ νέα γλῶσσα καλεῖ· ἣν καὶ ἀνακαλεῖσθαι. τῇ ποιήσει λέγεται κτῆμα ἡλίου βοῦς αὐτοῦ πλείστας καὶ πρόβατα καλὰ τρέφουσαν. ἔνθα τὸν ὀδυσσέα μετὰ τῶν ἑταίρων παραγενόμενον, μυκηθμοῦ βοῶν καὶ προβάτων αὐλιζομένων ἀκοῦσαι. ταχέως δὲ φεύγειν ἐκεῖθεν τοῦ ἡλίου κελεῦσαι τὴν νῆσον. τοὺς δ' ἑταίρους μὴ βούλεσθαι πόνῳ δεδαμασμένους καὶ ἀγρυπνίαις. δεδιότας δὲ. καὶ τοὺς κατὰ νύκτα γινομένους ἀνέμους ἐν τῷ πελάγει, μήποτε κακόν τι πάθοιεν. ὑφ' ὧν τὸν ὀδυσσέα ἐκβιασθέντα, ἀλλά γε παρ' αὐτῶν ὅρκον λαβεῖν. μηδένα τῶν ἱερῶν βοῶν ἢ οἰῶν ἅψασθαι. οὐ γεγονότος καὶ τῶν ἑταίρων ἐκβάντων. εἶτα φαγόντων δὲ καὶ

κοιμηθέν

στι περισκοπῶν ἀεὶ καὶ διαρπάζων ἢ καθόλου
ἢ μερικῶς τοὺς ἐν βίῳ πλέοντας. καὶ τὰ μὲν
δὴ ταῦτα. θάτερα δὲ τὰ κατὰ τὸ σῶμα ὑ-
ψηλὰ μὲν καὶ αὐτὰ τὸ περιφανῆ εἰς ἀπώλει-
αν. χθαμαλώτερα δ' ὅμως πρὸς ἐκεῖνα καὶ
ταπεινότερα, διὰ τὸ πρόδηλον τοῦ αἴσχους καὶ
ἀνεπίληκτον. ἐν οἷς καὶ ἐρινεός ἐστι, ἡ ἀγρία
μὲν τὴν φύσιν. γλυκεῖα δὲ τὴν ἀπόλαυσιν ἡ-
δονή. ὑφ' ἧς καὶ πολλάκις τῆς ἡμέρας, ἀναρ-
ροιβδεῖν πέφυκε τὰ τῆς σαρκὸς ὁρμήματα.
καὶ κυκοῦσαν τὸν ἄνθρωπον. νοῦν μὲν ἄνω τὴν
φλόγα τῆς ἐπιθυμίας ῥιπίζοντα. νῦν δὲ
κάτω βάλλοντα. τὰ πολλὰ τὰ ὑβριζόμε-
να πτώματα, ψυχῶν ὁμοῦ καὶ σωμάτων.
τῇ πρὸς ἄλληλα κοινωνίᾳ. τὸν δὲ τοιοῦτον σκό-
πελον, παρεξελᾶν ὁ κατ' ὀδυσσέα μέτειος
ἄνθρωπος προηγεῖται. τῷ δ' ἑτέρῳ πλησιά-
ζειν εἴπερ ἀνάγκη ἐκεῖ μὲν γὰρ, λόγῳ μό-
νῳ καὶ ψιλαῖς ὁρμαῖς τῆς ψυχῆς νοσῶν ὁ ἄν-
θρωπος ἐξελέγχεται. καὶ ῥαδίως ἔχει ὥστε
τὴν ἕξιν ἐπανελθεῖν ἐνταῦθα δ' ἂν ἔργοις αὐ-
τοῖς καταρρυπαινόμενος. ἢ δυσίατον τὴν ἔκ-
πλυσιν ἔχει, ἢ οὐκ ἔχω τι πλέον εἰπεῖν οἶμαι

ἐπιστραφέντα ἰδεῖν. οὐκ ἀμῦναι δὲ δύνασθαι. ἀλλ' οἰτηρεῖν τὴν συμφορὰν ἀγαπῶντα, ὅπη θάτερον ἀσινὴς παρελήλυθε σκόπελον. καὶ ἃ μὲν φησὶν ὁ μῦθος, τοιαῦτα. ἐγὼ δ' οἶμαι πρὸς διάνοιαν ὁρῶντα πλέον τὸν ποιητὴν, δύο σκοπέλους αἰνίττεσθαι, τὰ συνθλίβοντα ἑκατέρωθεν πάθη τὸν ἀνθρώπινον βίον, ἅπερ κατὰ τὸν στενωπὸν τουτονὶ ἐξ ἀνάγκης ὑφιστάμεθα πάντως. ὧν θάτερα μέν ἐστιν ἅπερ κατὰ τύχην ἡμῖν γε συμβαίνει. ὑψηλὰ μὲν τὴν κακίαν. ὕπουλα δὲ ὅμως καὶ σκοτεινὰ καὶ τοῖς μυχοῖς οἷον τοῦ νοῦ κατακεκρυμμένα. ὁποῖα τὰ τῆς ὑπερηφανίας καὶ τῶν ἄλλων κακῶν σύνισμεν ὄντα. ἐν οἷς καὶ ὁ προστάτης τουτωνὶ δαίμων ὁ δεινὸς καὶ ἄγριος κύων, οἰκεῖ. τῷ μέντοι κρυπτόμενος τῆς κακίας. τὸ δὲ καὶ φαινόμενος. ἐπὶ δὶ ἀμφοτέρων τέλειος. γνωριζόμενος. πρός τε τὸ ἐπιθέσθαι πανοῦργος, καὶ μετεωρίσαι ἐπὶ τὸν ὑψηλὸν τουτονὶ σκόπελον τῆς ἐπάρσεως. εἶτα καὶ παράξαι τῇ τριστοίχῳ κακίᾳ τῶν ὀλεθρίων ὀδόντων. εἴτουν ἀποστασίας μισανθρωπίας. ἢ μεγαλαυχίας. ἃ δὴ κατὰ παντός γε τρόπου χρηστοῦ δι' αἰῶνος νο

σεῖ πολυ-

τὸν πόντον καὶ ἰχθυᾶν περισκοποῦσαν τὸν σκό-
πελον. ἔνθα μὴ δὲ ναῦν ποτὲ παραπλέουσαν
ἀζήμιον ἀπελθεῖν. εἰ μὴ τοσούτους ἄνδρας ἀφαι-
ρεθείη ὁπόσαι τῷ θηρίῳ αἱ κεφαλαί. καὶ τὸν
μὲν ἕνα, τοιοῦτον εἶναι φασί. τὸν δ' ἕτερον, χθα-
μαλώτερον φαίνεσθαι ἑτέρωθεν κείμενον ἐκ
παραλλήλου πλησίον, ὅσον τοξάσαντα ἐφικέ-
σθαι. ὃν δὴ καὶ ἀεὶ διαφθείρειν τὰς τὸν στενωπὸν
ἐκεῖνον παραπλεούσας ναῦς. ὥσθ' ὁμοῦ τε ἀλ-
λήλοις συμφέρεσθαι πινακάς τε καὶ ἀνθρώπων σώ-
ματα ὑπό τε τῶν κυμάτων καὶ τῆς ἐπικεχυμέ-
νης θυέλλης τοῦ ὀλεθρίου πυρός. εἶναι δ' αὐτοῦ
καὶ μέγαν ἐρινεὸν ὑφ' ᾧ καὶ τρὶς τῆς ἡμέρας ἀναρ-
ροιβδεῖν τὴν χάρυβδιν. τρὶς μέν τοι καὶ ἀνιέ-
ναι. ἔνθα τὸν ὀδυσσέα γενόμενον, παραγγέλ-
λειν τῷ κυβερνήτῃ, τοῦ μὲν φανέντος καπνοῦ
τε καὶ κύματος, ἐκτὸς ἀπείργειν τὴν ναῦν.
παρευθύνειν δὲ μᾶλλον τῷ ἑτέρῳ σκοπέλῳ ἔ-
λαττον κακὸν τοῦ μείζονος προτιμῶντα. οὐ-
κοῦν κἀκείνους μὲν ὁρᾶν τὸν ὑπέρτατον σκόπελον.
καὶ τὴν χάρυβδιν φεύγειν. ἑτέρωθεν δὲ τὴν
σκύλλαν, ἐξ αὐτῶν διαρπάσαι θρηνοῦντας.
καὶ χεῖρας ὀδυσσεῖ ὀρέγοντας ἐπιμῦναι τὸν δ'

εἰληφέναι τῶν ἡδονῶν, τοῦτ' οἶδα τὴν ψυχὴν θανατοῦν. δεῖ δὲ καταμεῖναι ταύταις διὰ βία θλῆσαι, τῶν ἀρίστων ἔργων τῆς σωφροσύνης ἀφόνως ἐπιλαθόμενον.

κ' Φασὶ γοῦν ὀδυσσέα πλανώμενον. πρὸς δεινούς τινας καὶ ἀμάχους παρακινδυνεῦσαι σκοπέλους, τῆς τε σκύλλης καὶ τῆς χαρύβδεως· ὧν θάτερον μὲν, ὑψηλὰς εἶναι πέτρας πλακτὰς πρὸς ἃς καὶ μέγα κῦμα ῥοχθεῖν θαλάττιον. τοσοῦτῳ μὲν τοίγε ὑψηλὰς, ὡς εἰς αὐτὸν οὐρανὸν ἀντικρὺς, ἐξήκειν τὴν κορυφήν. καὶ διὰ παντὸς νεφελώδη καὶ κάθυγρον εἶναι. καὶ μήτε πτηνὰ ἱκανῶς ἔχειν ἐκεῖ παρέχεσθαι, μήτε ἄνθρωπον ἀναβαίνειν. οὐδ' εἰ χεῖρες αὐτῷ εἴκοσι καὶ πόδες εἶεν. ἔνθα κατὰ δὲ μέσον, ἄντρον εἶναί τι σκοτεινὸν εἰς ἔρεβος τετραμμένον πρὸς ζόφον· ἐν ᾧ καὶ τὴν λυσσώδη σκύλλαν οἰκεῖν δεινόν τι λελακυῖαν. ἧς καὶ φωνὴ γίνεται νεογνοῦ τινὸς σκύλακος. ταύτης πόδας μὲν εἶναι δυώδεκα. ἓξ δὲ περιμήκεις. τραχήλους. καὶ κεφαλὰς δὲ τοσαύτας. τριστοίχους δ' ὀδόντας θανάτου σάττοντας. προΐσχειν δ' ἀεὶ τὰς κεφαλὰς ὑπὲρ

τοῦ πόντου

σέα τὰ μὲν, ᾀδούσας. τὰ δὲ, καὶ λεγούσας· τὸν δὲ πρὸς ταῦτα θελγόμενον, καὶ διανεύοντα ταῖς ὀφρύσι τοὺς φίλους τῶν δεσμῶν διαφεῖναι, τοὐναντίον ἐκείνους ἀναστάντας δεσμεῖν ἰσχυροτέρᾳ τῇ πέδῃ. καὶ τοιαύτῃ μηχανῇ, τὰς ἀπατηλὰς ἐκφυγεῖν. καὶ ὁ μὲν μῦθος τοιαῦτα. ἐγὼ δ' οἶμαι, μὴ μέχρι τοῦ ὁρωμένου, τὴν ποίησιν ἡμᾶς ὥσπερ τινὰ σειρῆνα κατακηλεῖν, ἀλλὰ καὶ περαιτέρω τι βούλεσθαι. οὐκοῦν σειρῆνας ὑποληπτέον, τὰς θελξίνους καὶ ἀπατηλὰς ἡδονάς. αἳ γὰρ λείῳ καὶ προσηνεῖ τε καὶ μελιχρῷ, πάντας ἀνθρώπους δεινῶς καταγοητεύουσιν, ὅσοι τὸν παρόντα διαπλέουσι βίον. ἃς ἐκεῖνος παρεξελάσαι δύναται, ὃς ἂν κατὰ τὸν Ὀδυσσέα, τὰς μὲν τῆς ψυχῆς δυνάμεις μετὰ τῶν συντρόφων αἰσθητηρίων, κηρῷ καταφράξειε, θείων λόγων καὶ πράξεων, ὡς μηδενὸς ὑπολελειμμένου κενοῦ, μάτην ἐκείνας θυροκοπεῖν καταναλούσας· τὰς δὲ τοῦ σώματος ὁρμὰς, ἰσχυροτάτῃ πέδῃ τῇ φιλοσοφίᾳ καταμαράνειε. καὶ ἀναλῶτοις ἑαυτὸν ταύταις παράσχοι. οὕτω γὰρ αἰσθανόμενος, δόξειε μὴ αἰσθέσθαι. καὶ ἀκούσας μὴ δὲ ἀκοῦσαι. ἐπειδήπερ οὐχὶ τὸ πέραν ἁπλῶς

εἶτ᾿ δὲ ἀμφοτέρων εἰς ταυτὸ συνιόντων, ὅμως πρὸς τὸ θηλύτερον ἐσκευασμένας, ἀνθηρούς τινας λειμῶνας οἰκεῖν. καὶ τὴν σύμπασαν μουσικὴν, τέχνην ἐπιτηδεύειν. εἶναι δὲ τὸ τούτων ἔργον αὐταῖς, ἐπειδὰν τινας παραπλέοντας ἴδωσι, λιγυρώτερον ᾄδειν. τοὺς δὲ, τῇ γλυκύτητι τῆς ἡδονῆς τοῦ τῶν φθόγγῳ καταθελγομένους, λήθην ἄγειν αὐτίκα γυναικῶν τε καὶ τέκνων. καὶ πάντας αὐτοῦ ἡδέως ἐναποθνήσκειν αἱρεῖσθαι. ὥστε τὸ πολύν τινα ὀστῶν ἐκεῖσε ὁρᾶσθαι σωρὸν τῶν πυθομένων ἀνθρώπων. πρὶν δὲ ἐκεῖ τὸν ὀδυσσέα γενέσθαι πλέοντα, προειπεῖν τοῖς ἑταίροις τὸν κίνδυνον. καὶ πῶς ἂν καὶ τί ποτε δράσαντες, αὐτὸν διαδράσαιεν. οὕτω δ᾿ εἰπόντα. τὸ τὴν ἔχουσαν ἐκείνας νῆσον, μετ᾿ οὐ πολὺ ἀφικέσθαι. κἀκεῖ τινα τεμόντα κηρὸν. τῇ χειρὶ λεάναντα, τῶν ἑταίρων ἐπαλεῖψαι τὰ ὦτα. εἰπεῖν δὲ, καὶ ὅπως αὐτὸν μὲν ἰσχυρῶς μάλιστα δήσουσιν. οἱ δὲ καθήμενοι, ἐρέττοιεν κατὰ δύναμιν. ἐπεὶ δὲ πάντ᾿ ἐγένετο. τὸ καὶ παρ᾿ αὐτὰς λοιπὸν ἦσαν ἀφιγμένοι μουσουργοὺς δαίμονας, ἐκείνας αὐτίκα αἰσθέσθαι πλέοντας. τὸ τῇ φύσει χρῆσθαι καὶ τῇ ἀπάτῃ, καταθέλξαι τὸν ὀδυσσέα

ἀπαγόμενος ὑπὸ γλυκεῖ ταύτης ῥεύματι. ὁ δὴ τῶν ἀνηλίων καὶ σκοτεινῶν τῆς κακίας ἔργων παρασυρόμενος, εἰς αὐτά γε φθάνει τὰ τῆς ἀπωλείας πέρατα. ἔνθα καὶ θύει πρᾶξιν καὶ λόγον καὶ διανόημα. καὶ πάντα τὰ τῆς ψυχῆς καταχωρίζεται μέρη. ἐξ ὧν κατείδωλος γίνεται. καὶ βέβηλος καὶ ἀνόσιος. ζῶν μέντοι ὅμως. καὶ παρὰ τῇ φύσει κείμενον ἔχων τὸ δύνασθαι τοῦ σκότους ἐξαναδῦναι. ἀλλ' εἰ μὲν ἐκ μετανοίας ἐκεῖθεν φυγῇ τινι χρήσαιτο πρὶν ἢ δεινὴ μοῖρα τοῦ θανάτου γοργῶς αὐτὸν ὑπὸ τὸν θάνατον ἐπιστήσει καὶ τῆς παρούσης ἀποστήσει ζωῆς. ἐπάνεισιν ἀνανήψας ἐπὶ τὴν πρώτην τῆς ψυχῆς χώραν. ὅπου κρίσις τῆς διανοίας καὶ τὸ τοῦ νοῦ φῶς ἀνατέλλει. καὶ λογισμοὶ συγχορεύουσι σώφρονες. εἰ δὲ ἐπιμείνειε τῇ σκοτεινῇ ταύτῃ χώρᾳ. καὶ οὐδὲν ἐχούσῃ βιώσιμον, ἀπαράττεται τελέως τῇ πονηρίᾳ. καὶ μετὰ τῆς ζωῆς, τὴν ψυχὴν προσαπόλλυσιν.

Λέγεται τῇ ποιήσει, καὶ πρὸς τὰς σειρῆνας ζ'
τὸν Ὀδυσσέα διαγωνίζεσθαι, τὰς δὲ, εἴτε τις δαιμόνων φύσις εἰσίν. εἴτε δὴ καὶ ἀνθρώπων

ἐξελέσθαι δὲ καὶ ἅπερ ἱερεῖα ἐκόμιζε. τὸν δὲ μετὰ τῶν ἑταίρων παρὰ τὸν ῥοῦν ἔρχεσθαι. ἕως ἂν ἀφίκωνται οὗπερ αὐτῶν συμμίξαι τὸ πολύξαπον ὑπεσημήνατο γύναιον. ἔνθα γενόμενον καὶ ἃ φίλα τοῖς δαίμοσι πάντα πεποιηκότα· καὶ ἀναγαγόντα ἐξ ἀδύτου τε Τειρεσίαν καὶ τὰς τῶν συγγενῶν τε καὶ συνήθων ψυχάς. μαθόντα δὲ ἅπερ ἔδει παθεῖν ὕστερον, ἐκεῖθεν ἰθὺ τὴν ναῦν ἐπανεληλυθέναι· μή ποτε αὐτὸν βραδύνοντα, κακόν τι πράξῃ ἡ Περσεφόνη. τὴν τῆς γοργοῦς αὐτῷ ἐξαποστείλασα κεφαλήν· εἶτα ἀναβάντα, ἐπανήκειν εἰς τὴν Αἰαίαν. ὅπου ἡμέραν οἰκεῖν. καὶ ἀνατολὰς ἡλίου. καὶ τἆλλα δὴ τὰ τοῦ μύθου. ἐγὼ δὲ σχεδὸν τοῖς πᾶσι διαπιστῶν, τὸ ὅλον πρὸς διάνοιαν ἔχειν, οὐ φαύλως ὑπολαμβάνω. καὶ Ὀδυσσέα μὲν οἶμαι τὴν ποίησιν ὑπαινίττεσθαι, πάντ' ἄνθρωπον, ἅπαξ ἡδονῇ καὶ φαύλων ὀρέξει πραγμάτων προσδεδεμένον ἐξῆς οὐδὲν ἄλλο μαντεύεται, ὅτι μὴ πρὸς ἅδην ἰέναι, τὴν παντελῆ τοῦ καλοῦ τε καὶ συμφέροντος ἀγνοίας. ἔνθα τὰ νεκρά τινα εἴδωλα καὶ σκαιοί τινες καὶ ἄγριοι δαίμονες κατοικοῦσιν. ὑφ' ἧς καὶ κατὰ μικρὸν

ὑπα-

καθὸ πληρωθεὶς ἔμφρονι τῷ κριτικῷ λόγῳ κακίας
καὶ ἀρετῆς, ὅσα δὴ καὶ τἀναντία τῆς κηλησά-
σης ἐξευρίσκει φάρμακα, στρατεύεται κατ'
αὐτῆς· καὶ οὐχ ὅπως αὐτὸς τοῖς δεινοῖς φαρ-
μάκοις τῆς ἡδονῆς οὐχ ἁλίσκεται, ἀλλὰ καὶ
τὰς διαφθαρείσας δυνάμεις τῆς φύσεως, εἰς
τὸ οἰκεῖον ἀποκαθίστησιν εἶδος· κἀκεῖθεν ἄπεισι
κερδάνας τι καὶ παρ' ἐκείνης μεθ' ὧν ἐζημίω-
ται. καὶ γὰρ οἱ ἀπὸ τῆς κακίας ἀναλαμβα-
νόμενοι, κερδαίνουσι τό γε πρὸς αὐτὴν ἔχειν με-
τὰ τὴν ἀπαλλαγήν, ἐπιστημόνως διαγωνίζε-
σθαι. καὶ τῇ πρόσθεν ἥττῃ, μείζονι προφάσει χρῆ-
σθαι πρὸς ἀρετήν.

Ἧκειν εἰς ᾅδου χρησαμένης τῆς Κίρκης τὸν ϛʹ
Ὀδυσσέα φασὶ πλανώμενον. ἥκειν δὲ τοῦ-
τον τὸν τρόπον· ἐκ τῆς αἰαίας νήσου τὰ ἱστία
πετάσαντα, οὐρίῳ ἀνέμῳ εἰς τὰ τοῦ ὠκε-
ανοῦ πανημέριον ἀφικέσθαι πέρατα. ἔνθα
δῆμον εἶναι τῶν κιμμερίων καὶ πόλιν ζόφῳ
κεκαλυμμένην. οὐ γὰρ ἥλιον αὐτοὺς ποτε ἐ-
φορᾶν· οὔτ' ἀνίσχοντα, οὔτε δυόμενον. τὴν
μὲν οὖν ναῦν ἐκεῖσε ἀφικομένην, προσορμίσαι.

βεῖν φάρμακον, ὧν ἡ κακότεχνος γυνὴ μηχα-
νᾶται ἀντίπαλον. ἐκεῖσε δ' ἀπιόντα κἀκεί-
νῃ συμμίξαντα, καὶ δὴ καὶ τοῦ κυκεῶνος πιόν-
τα κατὰ τοὺς ἑταίρους, μηδὲν παθεῖν τῶν πα-
θεῖν ἔδει διὰ τὴν φύσιν τοῦ πόματος. προσα-
ναγκάσαι δ' ἐκείνην ἐπὶ τὸ εἶδος ἀποδοῦναι
τοῖς φίλοις. καὶ πολλὰ τοὐντεῦθεν φιλοφρο-
νηθέντα ἱκανῶς μάλιστα. καὶ χρησμοὺς εἰληφό-
τα καὶ δῶρα, ἐκεῖθεν ὑποχωρῆσαι. καὶ ἃ μὲν
ἡ ποίησις ταῦτα. ἡμεῖς δὲ φιλοσοφώτερον ἐνι-
δόντες τῇ διανοίᾳ τοῦ ποιητοῦ, ὀδυσσέα μὲν οἰό-
μεθα εἶναι τὸν ἡγεμόνα νοῦν τῆς ψυχῆς, ἑταίρους
δὲ τοὺς λογισμοὺς καὶ τὰς συμφύτους δυνάμεις.
αἰαίαν δὲ νῆσον, τὴν θρηνώδη καὶ πολύδακρυν
τοῦ κακοῦ χώραν. κίρκην δὲ καταγοητεύου-
σαν καὶ τὰς μορφὰς ἀλλοιοῦσαν τοῦ λογικοῦ
ἀξιώματος, τὴν φαύλην καὶ ἀλόγιστον ἡδονήν.
πρὸς ἣν ἄνευ νοῦ τοῦ ἡγεμονεύοντος, οἵ τε τῆς ψυ-
χῆς λογισμοὶ καὶ αἱ φυσικαὶ κινήσεις ἀτάκτως
ἀπολυόμεναι, εἰς τὴν ἄλογον καὶ μοχθηρὰν ἐξ-
αλλάττονται φύσιν κατακηληθεῖσαι· ὧν αὖ-
θις ὁ νοῦς ὑπὸ δυνάμεως ἀπαθοῦς ἀνανήψας καὶ
ὑπομνησθεὶς οἷα πεπόνθασι. καὶ θυμῷ τε ὁμοῦ
καθο-

καὶ νοῦν λαβὼν ἔμφρονα τῇ ποτὲ ὄζι τοι κακοῦ,
καὶ οἷς πολυστοιχίζεται πλώμασι, τὰ συνέχον
τα τῆς κακίας ἐκτέμνει πείσματα. καὶ τὸν κίν
δυνον διαφεύγει. θρηνῶν μὲν τὴν ἀπώλειαν
τῶν ἠθῶν κατάστασιν. χαίρων δ᾽ αὖθις, ὅτι
πέρ τινι σέσωσται μέρει. καὶ μὴ τὸ ὅλον διέφ-
θαρται. οἶμαι δὲ καὶ ταύτην τὴν ποίησιν ἐπαινεῖτ
τεσθαι παιδεύουσαν τοὺς ἀνθρώπους, μὴ προσκρού
ειν τοῖς κρείττοσι. μὴ δὲ ῥήμασιν αἰσχροῖς βάλ
λειν. ὥσπερ τὴν βασιλίδα τῶν λαισζυγόνων.
καὶ τοῦτο γὰρ οὐ μετρίας συμφορᾶς γίνεται πρό-
ξενον τοῖς ἀνθρώποις.

Ποιητικός τις ὡς ἡμᾶς ἥκει λόγος τὸν ὀδυσ- ε
σέα πλανώμενον. ἐπὶ τὴν αἰαίαν νῆσον κατα-
χθῆναι τῆς κίρκης. ἔνθα τῶν ἑταίρων οὐκ ὀλί
γους διαπεμψάμενον, οἵτινες οἰκοῦσι τὴν χώ
ραν πυθέσθαι. οὐ γάρ τοι προυφαίνετο πόλις.
ἤ τι τῶν τῆς πόλεως σύμβολον, πλὴν ἑνὸς τοὺς
πάντας εἰς σύας μεταβαλέσθαι ταῖς τῆς κίρ-
κης κακοτεχνίαις. τὸν δὲ αὐτίκα ὁπλίσασθαι
μεμαθηκότα καὶ εἰς τὰ τῆς κίρκης ἰόντα δώμα
τα, ἑρμῇ συναντῆσαι. καί τι παρ᾽ ἐκείνου λα-

κατεδηδοκέναι. τῶν δ' ἄλλων φυγόντων τὸν βασιλέα βοῆσαι. καὶ ἄλλον ἄλλοθεν τοὺς λαιστρυγόνας φοιτήσαντας. χερμαδίοις λίθοις βάλλειν τὰς ναῦς. καὶ τὰς μὲν καταγνύναι. τοὺς δὲ ἄνδρας ἐσθίειν ὥσπερ τινὰς ἰχθῦς πειρείροντας. ἐν τούτῳ δ' ἐκτεμόντα τὸν ὀδυσσέα τὰ πείσματα. καὶ τοῖς ἑταίροις διακελευσάμενον ἐμβάλλειν ταῖς κώπαις, μόνον τῶν ἄλλων τὸν κίνδυνον ἐκφυγεῖν καὶ ἀλγεῖν μὲν διὰ τοὺς ἄλλους ἀπολωλέναι. χαίρειν δ' ὅμως ὅτι γε αὐτὸς σέσωσται. καὶ ἃ μὲν φησὶν ἡ ποίησις. ταῦτα. ἔστι δὲ κἀνθάδε ὑπολαμβάνειν, ὀδυσσέα μὲν εἶναι, πάντ' ἄνθρωπον γνώμης αὐτονομίᾳ πολιτευόμενον. καὶ νόμων καὶ πολιτείας ὥς τινος πατρίδος ἀποφοιτήσαντα. ὃς ἀλλοτρίοις ἤθεσι τοῦ καλοῦ πλανώμενος. καὶ ὥσπερ ἐν λιμένι τινὶ τῇ πονηρίᾳ προσορμιζόμενος, σφαλερῶς μάλα διαναπαύεται. ἀφ' ἧς ὡς ὁρμητηρίου τινὸς παρεξιών, καταγωγάς τε καὶ καταδύσεις. καὶ πόλεις ὀχυράς τε καὶ δυσαλώτους. τῶν μοχθηρῶν τρόπων ὡς ἄλλων γε τινῶν λαιστρυγόνων περιεργάζεται. ὑφ' ὧν διὰ πλείστῳ κείρεται μέρει καὶ θανατοῦται. ὅτε δ' αἰνίγματι

νοῦν

Οὐδὲ τὰ παρὰ τῶν λαιστρυγόνων συμπεσόν- γ'
τα τῷ ὀδυσσεῖ γένοιτ' ἂν ἀηδῆ τοῖς ἀκούου-
σι. λέγεται γὰρ αὐτὸν μετὰ τῶν ἑταίρων πλα-
νώμενον, λάμου τοῦ βασιλέως τῶν λαιστρυγό-
νων, τὴν χώραν κατειληφέναι. ἔνθα λιμέ-
να τινὰ θαυμάσιον πεφυκέναι. στενήν τε τὴν εἴ-
σοδον καὶ μάλα γε ἐπιτήδειον, ναῦς καταγο-
μένας εἰσδέξασθαι καὶ φυλάξαι. ἔνθα τοὺς μὲν
ἄλλους ἑταίρους μετὰ τῶν νεῶν, ἔνδον εἰσβῆναι
μηδὲν κακὸν ὑποληψομένους, μόνον δ' ὀ-
δυσσέα τὴν ναῦν ἔξω σχεῖν ἐκ πέτρας τινὸς τὰ
πείσματα δήσαντα. εἶτα τρεῖς τινας πέμ-
ψαι, οἵτινες εἶεν ἐν ἐκείνῃ τῇ γῇ πευσομένους.
τοὺς δὲ, διὰ λείας τινὸς ἰόντας, εἴς τινα με-
γάλην πόλιν ἀφικέσθαι. τοσοῦτον ὑψηλὰς ἔχου-
σαν τὰς πύλας, ὥστε τὸν εἰσελαύνοντα ποι-
μένα, τοῦ ἐξελαύνοντος ῥᾳδίως ἀκούειν. κἀν-
τεῦθεν εἰς τὰ τοῦ βασιλέως ἐληλυθέναι δώμα-
τα. καὶ τὴν βασιλίδα εὑρεῖν, ὄρει προσεοικυῖαν
τὸ μέγεθος. ἣν δὴ καὶ καταστυγεῖν τοὺς ἀνοήτους
οὕτως ἔχουσαν ἀηδῶς προσβλέποντας. τὴν δὲ
χολωθεῖσαν, τὸν ἄνδρα καλεῖν ἐκ τῆς ἀγορᾶς.
κἀκεῖνον ἰόντα, ἕνα τῶν ἑταίρων ἁρπάσαντα,

δέ· εἰ μὲν καὶ τὸ ὅλον πέπλασται. νῦν μὲν οὐ
λέγω. λέγω δ' ὅμως, ὃ πλέον οἶμαι τὴν
ποίησιν βούλεσθαι. ὀδυσσεὺς ἐστὶν αὐτίκρυς,
ὁ πραγμάτων δήτινον ταλαιπωρίαις συνισχη-
μένος. καὶ πλανὴν ἥντινα οὖν κατὰ τὸ πα-
ρὸν ὑφιστάμενος. ὃς λύσιν μὲν εὑρεῖν τοῦ κα-
κοῦ μηχανᾶται. οὐχ ὡς μέντοι καὶ προσῆκεν
εὐσεβεῖν ἀνδρὶ βουλομένῳ. ἀλλὰ γόησιν ἀν-
θρώποις καὶ φαρμακοῖς ἑαυτὸν ἀναθέμενος.
καὶ τερθρείαις καὶ ἐπῳδαῖς ἐπιθαῤῥῶν τὰ δυσ-
χερῆ διακρούσασθαι. τὸν δὴ τοιοῦτον, οὐδ'
ἡ ποίησις αὐτὴν ταῖς κακοτεχνίαις ἐκδίδω-
σι. σφάλλεσθαι δὲ τὰ μάλιστα τῶν ἐλπίδων
καὶ γελῶντα προσοφλισκάνειν οὔτοι μέτριον. δεῖ
μὴ ὅτι οὐ τὰ τοῦ μύθου βούλεται, ἀλλὰ κά-
κεῖνο σφαλερὸν μάλα νομίζει καὶ τοῦ παντὸς
ἀγῶνος ἀπιτυχίαν ἐξορκιζόμενον. τὸ πολλὰ τὰ
τέλη καταῤῥαθυμεῖν· οἷον ὀδυσσεὺς πέπον-
θεν. οὐ μὴν, ἀλλὰ καὶ τὸ βασκαίνειν ἀλλοτρί-
αις εὐδαιμονίαις. καὶ τὸ πειρᾶσθαι συλᾶν τὰ
ἀλλότρια. καὶ λογισμοῖς καὶ ἐπινοίαις πιστεύ-
ειν. ὥσπερ καὶ οἱ τοῦ ὀδυσσέως ἑταῖροι, κακῶν
θήκοσι πρόξενον τῶν ἐσχάτων.

Οὐδὲ

δα. τὸν δὲ, κατανεύσαντα, βοῦν ἐκδεῖραι. καὶ τὸ δέρμα τῷ ὀδυσσεῖ παρασχεῖν. ἔνθα δαιμονίᾳ τινὶ τέχνῃ, τὰς μὲν ἄλλας τῶν ἀνέμων πνοὰς κατακλεῖσαι. μόνην δ᾽ ἀφεῖναι τὴν ζεφύρου πνοὴν ἐλευθέραν, ἕως ἂν ὀδυσσεὺς ἀφίκηται μετὰ τῶν ἑταίρων. καὶ δὴ ἐννῆμαρ οὐρῷ πλέοντα πνεύματι, φαινομένην τὴν πατρίδα ἰδεῖν. καὶ τοὺς πυρπολοῦντας ἐγγὺς δήπου θεῶντας. καμάτῳ δὲ καὶ ἀγρυπνίᾳ δεδαμασμένον τὸν ὀδυσσέα ὡς μόνον ἀεὶ τῆς νεὼς πόδα κινοῦντα, ὕπνον ἑλεῖν. τοὺς δ᾽ ἑταίρους οἰηθέντας χρυσόν τε καὶ ἄργυρον τὸν ἀσκὸν φέρειν τῷ ὀδυσσεῖ δῶρα αἰόλου, φθονῆσαι τῷ πλούτῳ. καὶ χεῖρας ἐπιβαλεῖν τῷ ἀσκῷ. τοῦ δὲ, λυθέντος πάσας αὐτίκα τὰς τῶν ἀνέμων ἐξορμῆσαι πνοάς. καὶ θύελλαν ἐξῆς σφοδροτάτην ἀρπάσασαν τοὺς νηπίους, εἰς τὸν πόντον ἀπαγαγεῖν κλαίοντας. τότε δὴ καὶ τοῦ ὕπνου ἐξαναστῆναι τὸν ὀδυσσέα. καὶ τῷ τῆς λύπης κλυδωνι μᾶλλον ἢ τῆς θαλάσσης ταραχθέντα, εἰς βυθὸν ἐκπεσεῖν κελεύεσθαι. τλῆναι δ᾽ ὅμως καὶ τοῦτο δὴ δεινόν. καὶ εἰς τὴν αἰολίδα πάλιν ἀφιχθαι. καὶ τὰ μὲν τοῦ μύθου τοιαῦτα. ἐγὼ

ἐὰν ἀπολογίζομαι, πάντ᾽ ἄνθρωπον φιλοκερδῆ τε καὶ πολυπράγμονα. ὅς τοῦ δικαίου καὶ σώφρονος τρόπου ἀποπλανηθεὶς, εἰς ἄγρια τινὰ καὶ ἀπανθρώπινα ἤθη ἐκφέρεται. ἔνθα δὴ ὁ πονηρός τις, καὶ αὐθαδέστατος δαίμων οἰκεῖ, καὶ τῇ φύσει πολέμιος. ὃς τρέφει μὲν ἄλογα πάθη. καὶ ἀεὶ τοῖς μέρεσιν ὑπ᾽ αὐτῶν τρέφεται. λυμαινόμενος ἐπιβούλως τῇ τῆς ψυχῆς καταστάσει. τὸν δὴ τοιοῦτον, τίσεται πάντως ὁ κατὰ τὸν ὀδυσσέα συνετῶς ἀνανήψας. καὶ ἰδὼν οὗ κακοῦ δι᾽ ἀφροσύνην ἐστί. τίσεται δὲ, δι᾽ ἐναντίας τῆς ἕξεως, ἐλευθερίαν τε ἀπραγμοσύνην ἐπιτηδεύσας. εἶτα κἀκεῖθεν ὑπεξελεύσεται ἀπήμων. αὐτὸς μὲν χαίρων. ἅτε μετὰ τῶν συντρόφων ἠθῶν ἀποκαταστάς. τὸν δὲ νοητὸν κύκλωπα, στένειν ἀφεὶς ἐπὶ τῇ τυφλώσει τῆς πονηρίας.

γ´ λόγος τὸν ὀδυσσέα πλανώμενον, εἰς αἰολίδα νῆσον μετὰ τῶν ἑταίρων ἀφικέσθαι. ἔνθα δεινόν τινα καὶ κακότεχνον ἄνδρα οἰκεῖν. αἴολος τοὔνομα ὥσπερ δὴ καὶ τὸν τρόπον. φιλόξενον δ᾽ ὅμως καὶ ἥμερον. τούτῳ παραγινόμενον ὀδυσσέα, πομπὴν ἐξαιτῆσαι καὶ νόστον εἰς τὴν πατρίδα. τὸν

τὰ δὲ πάντα εὑρεῖν καὶ * θεᾶσθαι ἀνὰ τὸ ἄντρον, τυρῶν καὶ ἀρνῶν. © εἰσφθωμ, καὶ τοὺς μὲν ἄλλους, αὐτὸν ἱκετεύειν ἔκγε τῶν παρόντων εἰληφότας, εἰς τοὐπίσω ἰέναι. τὸν δ᾽ οὐκ ἐθέλειν· ἀλλὰ περιμένειν τὸν κύκλωπα· λαβεῖν τι καὶ ξένιον. εἶτα κἀκεῖνον ἐληλυθέναι. © εἰσιδόντα ξένους τινὰς καὶ ἀήθεις ἄνδρας, θαυμάσαι. καὶ πρῶτα μὲν οἵτινες εἶεν ἐρέσθαι. εἶτ᾽ ἀπηνῶς σὺν δύο λαβόντα, φαγεῖν· καὶ εἰς τὴν ἑξῆς, αὖθις σὺν δύο. πρὸς ταῦτα τὸν ὀδυσσέα βουλεύσασθαι, κακόν τι δράσαι τὸν κύκλωπα. μὴ γὰρ ζῶντος τούτου πάντας ὀλέσειεν. ἀλλὰ αὖθις ἀπὸ τῆς νομῆς ἐληλυθότα τὸν ἀνδροφάγον, ἀνακαλύψαι τὸ ἄντρον. καὶ σὺν δύο λαβόντα, φαγεῖν. πίνειν δὲ καὶ τοῦ οἴνου, ὃν ὀδυσσεὺς αὐτὸς δέδωκε κομιζόμενος. οὐκοῦν καὶ μεθυσθέντα κατατετάσθαι. τὸ δὲ μετὰ τοῦτο, μοχλῷ τινὶ ἐξ ἐλαίας ἐκπυρωθέντι διατερενθῆναι πρὸς τοῦ ὀδυσσέως τὸν ὀφθαλμόν· συναραμένων καὶ τῶν ἑταίρων. εἶτα αὐτοὺς ἐκεῖθεν ἐξιέναι ὑποδύντας τὰ μῆλα μηχανῇ τινὶ θαυμασίᾳ. καὶ τὰ μὲν τοῦ μύθου, τοιαῦτα. Ἐγὼ δ᾽ εἰ μὴ γὰρ ὅλῳ τῷ γοῦν πλείστῳ μέρει τούτου συντίθεμαι. ὅμως μέντοι, ὀδυσσέα

* θεᾶσθαι legendum uidetur.

λης ἢ ἀληθοῦς ἡδονῆς παρευδοκιμεῖσθαι, θᾶττον ἐφίσταται. ἢ σφοδρότερον ἐπιπλήττει, εἴτε κατ' ὀδυσσέα δραστικός τις εἴη καὶ ἐναγώνιος ἢ καθέλκει βιαίως ἐπὶ τὰς οὐκ ἀληθεῖς νομάς· καὶ τῶν ἀπατηλῶν ἔργων ὥσπερ ἐκεῖνος τῶν λωτοφάγων ἀφίστησι. συνδεῖ τε καὶ συνέχει λόγοις αὐστηροτέροις. καὶ ἀπεοίτους ἔτι πρὸς τὰ φαῦλα ἐργάζεται. καὶ τὰ μὲν παθόντα τῆς ψυχῆς μέρη οὕτω καλῶς διατίθησι, τὰ δ' οὔπω παθόντα, καταφράττει ὁμοίως καὶ ἀσφαλίζεται, καὶ τῆς διαφθειρούσης μετανίστησιν ἡδονῆς, ὥσπερ ὀδυσσεὺς τοὺς ἑταίρους.

β' Φασί τινα καὶ τοιοῦτον ἆθλον ὑποστῆναι τὸν ὀδυσσέα πλανώμενον. τῆς γὰρ τῶν κυκλώπων γῆς ἐπιβάντα· καὶ τὴν φύσιν ἐξιόντα κατοπτεῦσαι τῆς χώρας, ἄντρον ἐπ' ἐσχατιᾶς αὐτοῦ που ἰδεῖν, καὶ μῆλα πολλὰ καὶ αἶγας αὐλιζομένας· καὶ ἄνδρα δ' ἐπαγρυπνοῦντα ἐκεῖσε. ἀμήχανόν τινα τὸ εἶδος καὶ τὴν ἀλκήν. καὶ μόνον τῶν ἄλλων κυκλώπων χωρὶς διαιτώμενον δι' ἀγριότητα τρόπου. ἔνθα παραγινόμενον μετὰ τῶν ἀρίστων εἰσιέναι σπουδῇ. οὐχ εὑρεῖν δὲ τὸν κύκλωπα παρόντα· νομὴν ἐξιόντα· μέ-

τὰ δὲ

μεμαθηκότα τὴν συμφορὰν, τῆς νεὼς ἐξιέναι καὶ ἀπιόντα, βιαίως ἐκείνους ἐπὶ τὰς ναῦς συνελάσαι κλαίοντας τῇ στερήσει τῆς ἡδονῆς. εἶτα ὑπὸ τοῖς ζυγοῖς τῶν νεῶν, ἀσφαλῶς μάλιστα καταδῆσαι, κελεῦσαί τε τοὺς ἄλλους ἐπιβαίνειν ἑκόντας, μὴ ταῦτα πάθοιεν, καὶ ὁ μὲν μῦθος τοιαῦτα. ἐγὼ δὲ τὸν ὀδυσσέα πάντα ἄνθρωπον ἐν τῷ παρόντι πλανώμενον, θείην ἂν δικαίως. ὃς νῦν μὲν τοῖς δὲ τοῖς πάθεσι καὶ ταῖς ἐπιπνοίαις τῆς τύχης καὶ τῶν πραγμάτων. νῦν δὲ τοῖσδε. καὶ τούς δ' ἁπλῶς ἢ τούσδε τοὺς λογισμοὺς καὶ τὰς ὁρμὰς τῆς ψυχῆς, προΐεται ἀπολύτως οἷς ἂν τύχοι συμμίγνυσθαι. οἱ καὶ τῆς γλυκείας ἡδονῆς καὶ τῶν ἀπατηλῶν τρόπων ἀπολελαυκότες, οὐκ ἀναστρέφειν τὸ μετὰ ταῦτα ἐπὶ τὸν ἡγεμόνα νοῦν οὐδὲ ἐπὶ τὰ σύντροφα τῆς ψυχῆς ἤθη προκρίνονται. οὐδέ γε τοῦ κρατοῦντος ἐπιστρέφονται νόμου. οὐδὲ μέντοι διαίτης καὶ πολιτείας ἀρίστης ἧ συνηυξήθησαν. ἀλλὰ πρὸς τὴν νόθον ταύτην τῆς φύσεως τροφὴν ἐκπλαγέντες, τῶν ἀρίστων ἁπάντων ἐπιλανθάνονται. ὁ μέντοι λόγος τῆς φύσεως, ᾧ τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος σαφῶς διήρηται, οὐδαμῶς ἀνεχόμενος τὸ σφέτερον ἀξίωμα ὑπὸ τῆς φυ-

οὖν γὰρ ὀδυσσέα προστησάμενος ὑπόθεσιν τοῦ βιβλίου, πολλά τινα ῥητά τε καὶ ἄρρητα, τῇ ποιητικῇ λέξεως ἐξουσίᾳ. τὸ κύριον, οἷς μὲν καὶ φανερῶς καθιστάμενος τὰ κάλλιστα παραινεῖν καὶ ἄγειν βούλεται· οὖν σκοτεινῶς κατεργάζεται· οἷς δὲ καὶ κύκλῳ περιιών. καὶ ἄλλοις δηλαδὴ τοῖς λόγοις τε πράγμασιν εἰς ὅρον δαιμονίας ἀποτελευτῶν. ἐκεῖνο διδάσκειν μονονουχὶ βουλόμενος, ὡς ἔστιν ἄρα τι κερδαίνειν καὶ ἀπὸ τῶν δοκούντων ἢ αἰσχρῶν ἢ λυπηρῶν, ὅποι παρείκοι, εἰ μετ' ἐξουσίας καὶ λογισμῶν ἀπαντῶμεν τοῖς τῶν κακῶν ἀβουλήτοις. ὃ δὴ καὶ δῆλον ἔσται αὐτίκα τοῖς ἐφεξῆς ὑποτεταγμένοις.

Α´ Λέγεται τῇ ποιήσει, τοιοῦτό τι παθεῖν οὖν ὀδυσσέα πλανώμενον. ἀνέμοις αὐτὸν ἐξωθέντα βιαίοις, τῆς λωτοφάγων γῆς ἐπιβῆναι. καὶ τὴν φύσιν ἀγνοοῦντα τῆς χώρας, τινάς που τῶν ἑταίρων πεπομφέναι. περὶ αὐτῆς πευσομένους, συμμῖξαι τοῖς λωτοφάγοις, παρ' ὧν καὶ εἰληφότας ἐκ τοῦ παρ' ἐκείνοις φυομένου λώτου, φαγεῖν αὐτίκα τε εἰς πεῖραν ἰέναι τοῦ μελιηδοῦς τούτου καρποῦ. ἐφεξῆς δὲ καὶ μένειν αἱρεῖσθαι παρὰ τοῖς λωτοφάγοις. ὀδυσσέα δὲ καὶ πατρίδα, πάντα τῆς ἡδονῆς ἐλάττω λογίζεσθαι. οὖν δὲ

ΕΠΙΤΟΜΟΣ

ΔΙΗΓΗΣΙΣ ΕΙΣ ΤΑΣ ΚΑΘ' ΟΜΗ-
ρον πλάνας τοῦ ὀδυσσέως μετά τινος θεωρί-
ας ἠθικωτέρας φιλοπονηθεῖσα. καὶ τὸ τῶν μύ-
θου σαθρὸν, ὡς οἷόν τε θεραπεῦσαι
τῆς τῶν ἀναγινωσκόντων ἕνε-
κεν ὠφελείας.

ΠΡΟΘΕΩΡΙΑ.

Οὐκ ἀλόγως οἶμαι πάντα τῇ ποιήσει ἐκτέθειται ὅσα τινὲς ἱστόρηνται παρ' ὁμήρῳ, ἤτοι παθόντες ἢ καὶ γενναῖον ἐξ ἀνάγκης τι δράσαντες. κἂν γὰρ πρὸς τὸ δραματικώτερον εἰργάσθαι δοκῇ, ὅμως ἔχει καὶ λόγους τινὰς ἀρίστους τοῖς μύθοις ὑποκαθημένους· ἐφ' οἷς ἀνάγει στοχαστικώτερον ἀπὸ τοῦ φαινομένου τὴν αἴσθησιν. καὶ κατὰ τὸ λεληθὸς ὑποτίθεται. ἀλλὰ χρεὼν περὶ τῶν μύθων τοὺς νέους εἰδέναι, σωφρονεῖν βουλομένους, καὶ τῇ βελτίονι μοίρᾳ προστίθεσθαι. ἀλλ' εἴπερ που τοῦθ' ὄντως ὁ μέγας ἐν ἀνθρώποις ἥρως ἐπραγματεύσατο, ἀλλὰ καὶ ἐν ὀδυσσείᾳ μάλιστα.

Cum falli Cyclopa uides, uimq́; arte repelli.
Stultorum regum uiua eſt Polyphemus imago.
Vanum etiam uulgus contemnere recta monentem
Accipis, æolios utres cum ſtulta reſoluit
Claßis, nulla ſuis uitæ pars optime Thoma
Exemplis caret. ô cui fata dedere beatum
Mæonij uatis diuina poëmata noſſe.
Perge modo ac animum fœlici paſce labore.

Hæc Philippus. Tu uero Seceri curabis, ut ualeas, & nobis iam Homeri Odyſſeam prælegentibus libellum non mediocriter uſui futurum fac impreſſum primo quoq; tempore exhibeas. Ex Onoltzpachio, menſe Iulio. Anno

M. D. XXXI.

ritamentum, qualecunq; eſſet præclaræ indolis iuueni bus Homeri poëſin diligentius lectitandi.

Philippi carmen ſic habet.

Iram ego pelidæ, ac Troiæ miſerabile fatum
Quum lego, Dulichios errores diſcis Homeri.
Vtile propoſitum curæ eſſe uidetur utriq;
Mœnidæ uatis diuina poëmata noſſe,
Quodq; ſit in rebus fortunæ, quod rationis
Imperium, docto ſpectare in carmine. Sed me
Neſcio quis terrere Iliadem modo caſus adegit.
Prætuleris Ithacum, quanto tu rectius, audi.
Pacis in hoc artes, meliorisq; optime Thoma
Officium cernes uitæ. Experientia quantum
Conferat ad mores, ac rerum longior uſus
Quum ad mores hominum multorũ luſtrat & urbes:
Erratq; in lato, uehiturq; procacibus auſtris
Aequore: rex Ithacæ patiens. Quid debeat audis
Vir ſapiens patriæ, cum hic fumum poſſe uidere
De patrio tecto uotis ardentibus optat.
Vina monent Veneremq; bonos contemnere ſponſi
Penelopes, & quis Circeia pocula mentem
Eripiunt, formasq; nouas medicamina fingunt.
Moly ſuum uates, mihi crede, poëma uocauit
Quo uim uirtutis, ſpecimenq; oſtendit honeſti.
Hanc diræ nunq̃, nunq̃ mala toxica lædant.
Diſcis & immanes uinci ratione Tyrannos

VINCENTIVS

OBSOPOEVS, IOHANNI SE-
cerio, Haganoënſi Typogra
pho, Salutem.

HVNC LIBELLVM
in antiquiſsimo quodam co-
dice ἀδεσποτου καὶ ἀνώνυ
μου repperi, imperfectum
tamen & mutilum, quo fabu
larum inuolucra errorum
Vlyſsis morali interpretati
one docte & eleganter exponuntur. Quem cum ſtu
dioſorum lectione dignum iudicarem, ad te tranſmit
tendum curaui, ut tua opera in gratiam φιλομήρων
καὶ φιλελλήνων exemplaribus aliquot excuſum in-
uulgares. Adiuuant hæc quoq; Græcæ linguæ tyro-
nes, non tam augendo ſtudio quàm formandis & emē
dandis moribus ſeruientia. Porrò omnibus modis ea il-
lectamenta & prouocamenta quærenda ſunt, quibus
iuuentus ad linguarum amorem & ſtudium & morū
Ciuilem elegantiam pelliceatur. Eiuſdem uero libelli
argumentum, cum eminentiſsimi uir ingenij, Philippus
Melanchthon ad imitationē Horatij extemporali quo
dam carmine ad Thomam Plaurerū complexus eſſet,
libuit ipſius quoq; uerſiculos his adiungere, ut hoc ir
rita

τε ἀλλήλους καὶ ὡς εἰς εὐνὴν ἀπιόντας, οἱ μὲν ἄγαμοι γαμεῖν ἐπώμνυσαν. οἱ δὲ γεγαμηκότες, ἀναβάντες ἐπὶ τοὺς ἵππους, ἀπήλαυνον πρὸς τὰς ἑαυτῶν γυναῖκας ὅπως τούτων τύχοιεν. σωκράτης δὲ καὶ τῶν ἄλλων οἱ ὑπομείναντες, πρὸς λύκωνα. σὺν τὸν υἱὸν τῷ καλλίᾳ περιπατήσοντες ἀπῆλθον. αὕτη τοῦ τότε συμποσίου κατάλυσις ἐγένετο.

ΤΕΛΟΣ ΤΟΥ ΞΕΝΟΦΩΝΤΟΣ ΣΥΜΠΟΣΙΟΥ.

σας, τοιοῦτόν τι ἐποίησεν· ὡς πᾶς ἂν ἔγνω
ὅτι ἀσμένη ἤκουσε, καὶ ἀπήντησε μὲν οὔ· οὐδὲ
ἀνέστη· δήλη δ' ἦν μόλις ἠρεμοῦσα. ἐπεί γε μὴν
κατεῖδεν αὐτὴν ὁ διόνυσος, ἐπιχορεύσας, ὥσ-
περ ἂν εἴ τις φιλικώτατα, καθέζετο ἐπὶ τῶν
γονάτων. καὶ περιλαβὼν, ἐφίλησεν αὐ-
τήν. ἡ δ' αἰδουμένη μὲν ἐῴκει ὅμως δὲ φιλι-
κῶς ἀντιπεριελάμβανεν. οἱ δὲ συμπόται ὁρῶν-
τες, ἅμα μὲν ἐκρότουν, ἅμα δὲ ἐβόων αὖθις.
ὡς δὲ ὁ διόνυσος ἀνιστάμενος συνανέστησε μεθ'
ἑαυτοῦ τὴν ἀριάδνην, ἐκ τούτου δὴ φιλούντων
τε καὶ ἀσπαζομένων ἀλλήλους, σχήματα πα-
ρῆν θεάσασθαι. οἱ δ' ὁρῶντες ὄντως καλὸν μὲν
τὸν διόνυσον ὡραίαν δὲ τὴν ἀριάδνην, οὐ σκώ-
πτοντας δὲ ἀλλ' ἀληθινῶς τοῖς στόμασι φι-
λοῦντας. πάντες ἀνεπτερωμένοι ἐθεῶντο.
καὶ γὰρ ἤκουον τοῦ διονύσου μὲν, ἐπερωτῶντες,
αὐτὴν, εἰ φιλεῖ αὐτόν. τῆς δὲ, οὕτως ἐπομ-
νυούσης, μὴ μόνον τὸν διόνυσον, ἀλλὰ καὶ τοὺς
παρόντας ἅπαντας ἐπομόσαι ἂν, ἦ μὴν τὸν παῖ-
δα καὶ τὴν παῖδα, ὑπ' ἀλλήλων φιλεῖσθαι.
ἐῴκεσαν γὰρ οὐ δεδιδαγμένοις τὰ σχήματα, ἀλλ'
ἐφειμένοις πράττειν ἃ πάλαι ἐπεθύμουν. τέ-
λος δὲ οἱ συμπόται ἰδόντες περιβεβληκότας
τε ἀλλή

ἐκεῖνον, εἶπεν. οὐκοῦν σύ μὲν ὦ σώκρατες μα-
στροπεύσεις πρὸς τὴν πόλιν, ὅπως πράττω τὰ
πολιτικὰ καὶ ἀεὶ ἀρεστὸς ὦ αὐτῇ. ναὶ μὰ δί', „
ἔφη, ἢν ὁρῶσί γέ σε, μὴ τῷ δοκεῖν ἀλλὰ τῷ ὄντι „
ἀρετῆς ἐπιμελούμενον. ἡ μὲν γὰρ ψευδὴς δόξα, Illuſtris
ταχὺ ἐλέγχεται ὑπὸ τῆς πείρας. ἡ δ' ἀληθὴς ſenten-
ἀνδραγαθία, ἢν μὴ θεὸς βλάπτῃ, ἀεὶ ἐν ταῖς πρά tia.
ξεσι, λαμπροτέραν τὴν ἄκλειαν συμπαρέχε- „
ται. οὗτος μὲν δὴ ὁ λόγος, ἐνταῦθα ἔληξεν. „
αὐτόλυκος δὲ ἤδη γὰρ ὥρα ἦν αὐτῷ, ἐξανίστα-
το εἰς περίπατον. καὶ ὁ λύκων ὁ πατὴρ αὐτῷ,
συνεξιὼν, ἐπιστραφεὶς εἶπε, νὴ τὴν ἥραν ὦ σώ
κρατες, καλός τε κἀγαθὸς δοκεῖς μοι ἄνθρω-
πος εἶναι. ἐκ δὲ τούτου, πρῶτον μὲν θρόνος
τις ἔνδον κατετέθη. ἔπειτα δὲ ὁ συρακόσιος εἰ-
σελθὼν εἶπεν, ὦ ἄνδρες, ἀριάδνη εἴσεισιν εἰς
τὸν ἑαυτῆς τε καὶ διονύσου θάλαμον. μετὰ δὲ
τοῦθ' ἥξει διόνυσος ὑποπεπωκὼς παρὰ θεοῖς, καὶ
εἴσεισι πρὸς αὐτήν. ἔπειτα παιξοῦνται πρὸς ἀλλή
λους. ἐκ τούτου πρῶτον μὲν ἡ ἀριάδνη ὡς νύμφη
κεκοσμημένη παρῆλθε. καὶ καθέζετο ἐπὶ τοῦ
θρόνου. οὔπω δὲ φαινομένου τοῦ διονύσου, ηὐλεῖτο
ὁ βακχεῖος ῥυθμός. ἔνθα δὴ ἠγάσθησαν τὸν ὀρ-
χηστοδιδάσκαλον. εὐθὺς μὲν γὰρ ἡ ἀριάδνη ἀκού

ἂν τιμᾷς πρέπειν. εἰ οὖν βούλει τούτῳ ἀρέσκειν, σκεπτέον μέν σοι ποῖα ἐπιστάμενος θεμιστοκλῆς, ἱκανὸς ἐγένετο τὴν ἑλλάδα ἐλευθεροῦν. σκεπτέον δὲ, ποῖά ποτε εἰδὼς περικλῆς, κράτιστος ἐδόκει τῇ πατρίδι σύμβουλος εἶναι. ἀθρητέον δὲ καὶ πῶς ποτε σόλων φιλοσοφήσας, νόμους κρατίστους τῇ πόλει κατέθηκεν. ἐρευνητέον δὲ ποῖα λακεδαιμόνιοι ἀσκοῦντες, κράτιστοι δοκοῦσιν ἡγεμόνες εἶναι. πρόξενοι δὲ καὶ κατάγονται ἀεὶ παρὰ σοὶ, οἱ κράτιστοι αὐτῶν. ὡς μὲν οὖν σοι ἡ πόλις ταχὺ ἂν ἐπιτρέψειεν αὐτὴν εἰ βούλει, εὖ ἴσθι. τὰ μέγιστα γάρ σοι ὑπάρχει. εὐπατρίδης εἶ. ἱερεὺς θεῶν τῶν ἀπ' ἐρεχθέως. οἳ καὶ ἐπὶ τὸν βάρβαρον σὺν ἰάκχῳ ἐστράτευσαν. καὶ νῦν ἐν τῇ ἑορτῇ ἱεροπρεπέστατος δοκεῖς εἶναι τῶν προγεγενημένων. καὶ σῶμα ἀξιοπρεπέστατον μὲν ἰδεῖν τῆς πόλεως ἔχεις. ἱκανὸν δὲ, μόχθους ὑποφέρειν. εἰ δ' ὑμῖν δοκῶ σπουδαιολογῆσαι μᾶλλον ἢ παρὰ πότον πρέπει, μηδὲ τοῦτο θαυμάζετε. ἀγαθῶν γὰρ φύσει καὶ τῆς ἀρετῆς φιλοτίμως ἐφιεμένων, ἀεί ποτε τῇ πόλει συνεραστὴς ὢν διατελῶ. οἱ μὲν δὴ ἄλλοι, περὶ τῶν ῥηθέντων διελέγοντο. ὁ δ' αὐτόλυκος κατεθεᾶτο τὸν καλλίαν. καὶ ὁ καλλίας δὲ παρορῶν εἰς ἐκεῖνον,

μείζοντες ἐὰν καὶ ὀρεχθῇ τὶς σώματος μηδενὸς ἂν ἔτι καλοῦ κἀγαθοῦ τούτων τυχεῖν, οὕτω τελέως τοὺς ἐρωμένους ἀγαθοὺς ἀπεργάζονται, ὥστε καὶ μετὰ ξένων κἂν μὴ ἐν τῇ αὐτῇ πόλει ταχθῶσι, τῷ ἐραστῇ ὁμοίως αἰδοῦνται τοὺς παρόντας ἀπολείπειν· θεὰν γὰρ οὐ τὴν ἀναίδειαν, ἀλλὰ τὴν αἰδῶ νομίζουσι. δοκοῦμεν ἄν μοι πάντες ὁμόλογοι γενέσθαι περὶ ὧν λέγω, εἰ ὧδε ἐπισκοπῶμεν, περὶ ποτέρως παιδὶ φιληθέντι μᾶλλον ἄν τις πιστεύσειεν ἢ χρήματα ἢ τέκνα ἢ χάριτας παρακατατίθεσθαι. ἐγὼ μὲν γὰρ οἶμαι καὶ αὐτὸν τὸν τῷ εἴδει τοῦ ἐρωμένου χρώμενον, μᾶλλον ἂν ταῦτα πάντα, τῷ τὴν ψυχὴν ἐρασμίῳ πιστεῦσαι. σοί γε μὴν ὦ Καλλία δοκεῖ μοι ἄξιον εἶναι, καὶ θεοῖς χάριν εἰδέναι, ὅτι σοι αὐτολύκου ἔρωτα ἐνέβαλον. ὡς μὲν γὰρ φιλότιμός ἐστιν, ἄδηλον. ὃς τοῦ κηρυχθῆναι ἕνεκα νικῶν παγκράτιον, πολλοὺς μὲν πόνους, πολλὰ δ' ἄλγη ἀνέχεται. εἰ δὲ οἴοιτο μὴ μόνον ἑαυτὸν καὶ τὸν πατέρα κοσμήσειν, ἀλλ' ἱκανὸς γενήσεσθαι δι' ἀνδραγαθίαν καὶ φίλους εὖ ποιεῖν καὶ τὴν πατρίδα αὔξειν τρόπαιον τῶν πολεμίων ἱστάμενος, καὶ διὰ ταῦτα περίβλεπτός τε καὶ ὀνομαστὸς ἔσεσθαι καὶ ἐν Ἕλλησι καὶ ἐν βαρβάροις, πῶς οὐκ οἴει αὐτὸν ὅντιν' ἡγεῖτο εἰς ταῦτα συνεργὸν εἶναι κράτιστον, τοῦτον ταῖς μεγίσταις

δὲ πολλοὶ τῶν ἡμιθέων οἱ ἄριστοι ὑμνοῦνται, οὐ διὰ τὸ συγκαθεύδειν, ἀλλὰ διὰ τὸ ἄγασθαι ἀλλήλους τὰ μέγιστα καὶ κάλλιστα κοινῇ διαπεπρᾶχθαι. τί δὲ τὰ νῦν καλὰ ἔργα, οὐ πάντ' ἂν εὕροι τις ἕνεκα ἐπαίνου ὑπὸ τῶν καὶ πονεῖν καὶ κινδυνεύειν ἐθελόντων πραττόμενα μᾶλλον, ἢ ὑπὸ τῶν ἐθιζομένων ἡδονὴν ἀντ' εὐκλείας αἱρεῖσθαι; καίτοι παυσανίας τε ὁ ἀγάθωνος τοῦ ποιητοῦ ἐραστὴς ἀπολογούμενος ὑπὲρ τῶν ἀκρασίᾳ συγκυλινδουμένων εἴρηκεν. ὡς καὶ στράτευμα ἀλκιμώτατον ἂν γένοιτο, ἐκ παιδικῶν τε καὶ ἐραστῶν. τούτους γὰρ ἂν ἔφη οἴεσθαι μάλιστα αἰδεῖσθαι ἀλλήλους ἀπολείπειν. θαυμαστὰ λέγων, εἴ γε οἱ ψόγου τε καὶ ἀφροντιστεῖν καὶ ἀναισχυντεῖν πρὸς ἀλλήλους ἐθιζόμενοι, οὗτοι μάλιστα αἰσχύνονται αἰσχρόν τι ποιεῖν. καὶ μαρτύρια δὲ ἐπήγετο, ὡς ταῦτα ἐγνωκότες εἶεν, καὶ θηβαῖοι καὶ ἠλεῖοι συγκαθεύδοντες γοῦν αὐτοῖς, ὅμως παρατάττεσθαι ἔφη τὰ παιδικὰ εἰς τὸν ἀγῶνα. οὐδὲν τοῦτο σημεῖον λέγων ὅμοιον. ἐκείνοις μὲν γὰρ ταῦτα νόμιμα, ἡμῖν δ' ἐπονείδιστα. δοκοῦσι δ' ἔμοιγε οἱ μὲν παρατάττόμενοι, ἀπιστοῦσι ἐοικέναι. μὴ χωρὶς γενόμενοι οἱ ἐρώμενοι, οὐκ ἀποτελῶσι τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἔργα. λακεδαιμόνιοι δὲ οἱ νο-

συνόντα ἀποδεῖξαι. ὁ δέ γε ἀναισχυντίαν καὶ ἀκρασίαν παρεχόμενον, ἐγκρατῆ καὶ αἰδούμενον τὸν ἐρώμενον ποιῆσαι. ἐπιθυμῶ δέ σοι ἔφη ὦ καλλία καὶ μυθολογῆσαι, ὡς οὐ μόνον ἄνθρωποι ἀλλὰ καὶ θεοὶ καὶ ἥρωες, τὴν τῆς ψυχῆς φιλίαν περὶ πλείονος ἢ τὴν τοῦ σώματος χρῆσιν ποιοῦνται. ζεὺς τε γὰρ ὅσων μὲν θνητῶν οὐσῶν μορφῆς ἠράσθη συγγενόμενος, εἴα αὐτὰς θνητὰς εἶναι. ὅσων δὲ ψυχαῖς ἀγαθαῖς ἀγασθείη, ἀθανάτους τούτους ἐποίει. ὧν ἡρακλῆς μὲν καὶ διόσκουροί εἰσι. λέγονται δὲ καὶ ἄλλοι. καὶ ἐγώ δέ φημι καὶ γανυμήδην, οὐ σώματος ἀλλὰ ψυχῆς ἕνεκα ὑπὸ διὸς εἰς ὄλυμπον ἀνενεχθῆναι. μαρτυρεῖ δὲ καὶ τοὔνομα αὐτοῦ. ἔστι μὲν γὰρ δήπου καὶ ὁμήρῳ, γάνυται δ' ἀκούων. τοῦτο δὲ φράζει. ὅτι ἥδεται δέ τ' ἀκούων. ἔστι δὲ καὶ ἄλλοθί που, πυκινὰ φρεσὶ μήδεα εἰδώς. τοῦτο δ' αὖ λέγει, σόφα φρεσὶ βουλεύματα εἰδώς. ἐξ οὖν συναμφοτέρων τούτων, οὐχ ἡδὺ σώματος ὀνομασθεὶς ὁ γανυμήδης, ἀλλ' ἡδὺ γνώμων, ἐν θεοῖς τετίμηται. ἀλλὰ μὴν ὦ νικήρατε καὶ ἀχιλλεὺς ὁμήρῳ πεποίηται οὐχ ὡς παιδικοῖς πατρόκλῳ ἀλλ' ὡς ἑταίρῳ ἀποθανόντι, ἐκπρεπέστατα τιμωρῆσαι. καὶ ὀρέστης δὲ καὶ πυλάδης. καὶ θησεὺς καὶ πειρίθους. καὶ ἄλλοι

Ganymedes unde dictus sit.

λέγειν ἃ δεῖ καὶ πράττειν, δικαίως ἂν ὥσπερ χείρων καὶ φοῖνιξ ὑπ' ἀχιλλέως τιμῷτο. ὁ δὲ τοῦ σώματος ὀρεγόμενος, εἰκότως ἂν ὥσπερ πτωχὸς περιέποιτο. ἀεὶ γάρ τοι προσαιτῶν καὶ προσδεόμενος ἢ φιλήματος ἢ ἄλλου τινὸς ψηλαφήματος, παρακολουθεῖ. εἰ δὲ λαμυρώτερον λέγω, μὴ θαυμάζετε· ὅ, τε γὰρ οἶνος συνεπαίρει, καὶ ὁ ἀεὶ σύνοικος ἐμοὶ ἔρως κεντρίζει, εἰς τὸν ἀντίπαλον ἔρωτα αὐτοῦ, παρρησιάζεσθαι. καὶ γὰρ δὴ δοκεῖ μοι ὁ μὲν τῷ εἴδει τὸν νοῦν προσέχων μεμισθωμένῳ χῶρον ἐοικέναι. οὐ γὰρ ὅπως πλείονος ἄξιος γένηται, ἐπιμελεῖται, ἀλλ' ὅπως αὐτὸς ὅτι πλεῖστα ὡραῖα καρπώσηται. ὁ δὲ τῆς φιλίας ἐφιέμενος μᾶλλον ἔοικε τῷ τὸν οἰκεῖον ἀγρὸν κεκτημένῳ πάντοθεν γοῦν φέρων ὅ, τι ἂν δύνηται, πλείονος ἄξιον ποιεῖ τὸν ἐρώμενον. καὶ μὴν καὶ τῶν παιδικῶν ὅσα ἂν μὲν εἰδῇ τοῦ εἴδους ἐπαρκῶν ἄρξει τοῦ ἐραστοῦ, εἰκὸς αὐτὸν τἆλλα ῥᾳδιουργεῖν. ὃς δ' ἂν γινώσκῃ ὅτι ἂν μὴ καλὸς κἀγαθὸς ᾖ οὐ καθέξει τὴν φιλίαν, τοῦτον προσήκει μᾶλλον ἀρετῆς ἐπιμελεῖσθαι. μέγιστον δ' ἀγαθὸν τῷ ὀρεγομένῳ ἐκ παιδικῶν φίλον ἀγαθὸν ποιήσασθαι, ὅτι ἀνάγκη αὐτὸν ἀσκεῖν ἀρετήν. οὐ γὰρ οἷόν τε πονηρὰ αὐτὸν ποιοῦντα, ἀγαθὸν τὸν

αὐτῇ εἰς γῆρας διατελοῦσι. τὸν δὲ ἐκ τοῦ σώματος κρεμάμενον, διά τι ἀντιφιλήσειεν ἂν ὁ παῖς; πότερον ὅτι ἑαυτῷ μὲν νέμει ὧν ἐπιθυμεῖ, τῷ δὲ παιδὶ τὰ ἐπονειδιστότατα, ἢ διότι ἃ σπεύδει πράττειν παρὰ τῶν παιδικῶν, εἴργει μάλιστα τοὺς οἰκείους ἀπὸ τούτων; καὶ μὴν ὅτι γε οὐ βιάζεται ἀλλὰ πείθει, διὰ τοῦτο μᾶλλον μισητέος. ὁ μὲν γὰρ βιαζόμενος, ἑαυτὸν πονηρὸν ἀποδεικνύει. ὁ δὲ πείθων, τὴν τοῦ ἀναπειθομένου ψυχὴν διαφθείρει. ἀλλὰ μὴν καὶ ὁ χρημάτων γε ἀπεμπολῶν τὴν ὥραν, τί μᾶλλον στέρξει τὸν πριάμενον ἢ ὁ ἐν ἀγορᾷ πωλῶν καὶ ἀποδιδόμενος. οὐ μὴν ὅτι γε ὡραῖος, ἀώρῳ. οὐδὲ ὅτι γε καλὸς οὐκέτι καλῷ, καὶ ἐρῶντι οὐκ ἐρῶν ὁμιλεῖ, φιλήσει αὐτόν. οὐδὲ γὰρ ὁ παῖς τῷ ἀνδρὶ ὥσπερ γυνὴ κοινωνεῖ τῶν ἐν τοῖς ἀφροδισίοις εὐφροσυνῶν. ἀλλὰ νήφων μεθύοντα ὑπὸ τῆς ἀφροδίτης θεᾶται. ἐξ ὧν οὐδὲν θαυμαστόν, εἰ καὶ τὸ ὑπερορᾶν ἐγγίγνεται αὐτῷ τοῦ ἐραστοῦ. καὶ σκοπῶν δ' ἄν τις εὕροι ἐκ μὲν τῶν διὰ τοὺς τρόπους φιλουμένων, οὐδὲν χαλεπὸν γεγενημένον. ἐκ δὲ τῆς ἀναιδοῦς ὁμιλίας, πολλὰ ἤδη καὶ ἀνόσια πεπραγμένα. ὡς δὲ καὶ ἀνελεύθερος ἡ συνουσία τῷ τὸ σῶμα μᾶλλον, ἢ τῷ τὴν ψυχὴν ἀγαπῶντι, νῦν τοῦτο δηλώσω. ὁ μὲν γὰρ παιδεύων

θεὸν, ἐπαφρόδιτα καὶ ἔπη καὶ ἔργα εἰδέναι. ὡς μὲν
γὰρ ἄγαταί τε καὶ φιλεῖ τὸν ἐρώμενον, ὁ θάλλουσαν
μορφήν τε, ἐλευθερίαν καὶ ἦθος αἰδῆμόν τε καὶ γεν-
ναίαν ψυχὴν, εὐθὺς ἐν τοῖς ἥλιξιν ἡγεμονικήν τε ἅμα
καὶ φιλόφρον' οὖσαν, οὐδὲν ἐπιδεῖται λόγου.
ὅτι δὲ εἰκὸς ὑπὸ τῶν παιδικῶν τὸν τοιοῦτον
ἐραστὴν ἀντιφιλεῖσθαι, καὶ τοῦτο διδάξω. πρῶτον
μὲν γὰρ, τίς μισεῖν δύναιτ' ἂν ὑφ' οὗ εἰδείη κα-
λός τε καὶ ἀγαθὸς νομιζόμενος· ἔπειτα δὲ ὁρῴη
αὐτὸν, τὰ τοῦ παιδὸς καλὰ μᾶλλον, ἢ τὰ ἑαυτοῦ
ἡδέα σπουδάζοντα. πρὸς δὲ τούτοις πιστεύῃ, μήτ'
ἂν παρά τι ποιήσῃ, μήτ' ἂν καμὼν ἀμορφότερος
γένηται, μειωθῆναι ἂν τὴν φιλίαν. οἷς γε μὴν
κοινὸν τὸ φιλεῖσθαι, πῶς οὐκ ἀνάγκη τούτους,
ἡδέως μὲν προσορᾶν ἀλλήλους. εὐνοϊκῶς δὲ δια-
λέγεσθαι. πιστεύειν τε καὶ πιστεύεσθαι. καὶ προνοεῖν
μὲν ἀλλήλων. συνήδεσθαι δ' ἐπὶ ταῖς καλαῖς
πράξεσι· συνάχθεσθαι δὲ, ἤν τι σφάλμα προσ-
πίπτῃ. τότε δ' εὐφραινομένους διατελεῖν, ὅ-
ταν ὑγιαίνοντες συνῶσιν. ἢν δὲ κάμῃ ὁποτερο-
σοῦν. πολὺ συνεχεστέραν τὴν συνουσίαν ἔχειν. καὶ
ἀπόντων ἔτι μᾶλλον, ἢ παρόντων ἐπιμελεῖσθαι.
οὐ ταῦτα πάντα ἐπαφρόδιτα; διά γέ τοι τὰ τοι-
αῦτα ἔργα, ἅμα ἐρῶντες τῆς φιλίας καὶ χρώμενοι
αὐτῇ

ϛὸς, τῶν καλῶν τε καὶ ἀγαθῶν ἐραστής. καὶ ὁ ἑρμογέ-
νης, εἶπε, νὴ τὴν ἥραν ἔφη ὦ σώκρατες, ἄλλα
τέ σου πολλὰ ἄγαμαι, καὶ ὅτι νῦν ἅμα χαριζόμε-
νος καλλίᾳ, καὶ παιδεύσεις αὐτὸν οἷόν περ χρὴ
εἶναι. νὴ Δί' ἔφη, ὅπως δὲ καὶ ἔτι μᾶλλον εὐφραί-
νηται, βούλομαι αὐτῷ μαρτυρῆσαι, ὡς καὶ πο-
λὺ κρείττων ἐστὶν ὁ τῆς ψυχῆς ἢ ὁ τοῦ σώματος.
ἔρως· ὅτι μὲν γὰρ δὴ ἄνευ φιλίας συνουσία οὐδε-
μία ἀξιόλογος, πάντες ἐπιστάμεθα. φιλεῖν γε
μὴν τῶν μὲν τὸ ἦθος ἀγαμένων, ἀνάγκη ἡδεία καὶ
ἐθελουσία καλεῖται· τῶν δὲ τοῦ σώματος ἐπιθυ-
μούντων, πολλοὶ μὲν τοὺς τρόπους μέμφονται, καὶ μι-
σοῦσι τῶν ἐρωμένων. ἢν δὲ καὶ ἀμφότεροι στέρξωσι,
τὸ μὲν τῆς ὥρας ἄνθος, ταχὺ δήπου παρακμάζει.
ἀπολείποντος δὲ τούτου, ἀνάγκη καὶ τὴν φιλί-
αν συναπομαραίνεσθαι. ἡ δὲ ψυχὴ ὅσον περ ἂν
χρόνον ἴῃ ἐπὶ τὸ φρονιμώτερον, καὶ ἀξιεραστοτέρα
γίγνεται. καὶ μὴν ἐν μὲν τῇ τῆς μορφῆς χρήσει, ἔνε- ,,
στί τις καὶ κόρος ὥστε ἅπερ καὶ πρὸς τὰ σιτία διὰ ,,
πλησμονὴν, ταῦτα ἀνάγκη καὶ πρὸς τὰ παιδι- ,,
κὰ πάσχειν. ἡ δὲ τῆς ψυχῆς φιλία διὰ τὸ ἁγνὴ ,,
εἶναι καὶ ἀκορεστοτέρα ἐστίν. οὐ μέντοι ὥς γ' ἄν τις ,,
οἰηθείη. διὰ τοῦτο καὶ ἐπαφροδιτοτέρα. ἀλλὰ σα-
φῶς καὶ ἀποτελεῖται ἡ εὐχὴ ἐν ᾗ αἰτούμεθα τὴν

ἀλλ' εὐμορφίας τῆς ἐμῆς. ὅτι μὲν σύ ὦ Καλλία ἐρᾷς Αὐτολύκου, πᾶσα μὲν ἡ πόλις οἶδε. πολλοὺς δ' οἶμαι, καὶ τῶν ξένων. τούτου δ' αἴτιον, ὅτι πατέρων τε ὀνομαστῶν ἀμφοτέροις ὑμᾶς εἶναι, καὶ αὐτοὺς ἐπιφανεῖς. ἀεὶ μὲν οὖν ἔγωγε, ἠγάμην τὴν σὴν φύσιν. νῦν δὲ καὶ πολὺ μᾶλλον, ἐπεὶ ὁρῶ σε ἐρῶντα, οὐχ ἁβρότητι χλιδαινομένου, οὐδὲ μαλακίᾳ θρυπτομένου, ἀλλὰ πᾶσιν ἐπιδεικνυμένου, ῥώμην τε καὶ καρτερίαν, καὶ ἀνδρείαν καὶ σωφροσύνην. τὸ δὲ τοιούτων ἐπιθυμεῖν, τεκμήριόν ἐστι τῆς τοῦ ἐρωμένου φύσεως. εἰ μὲν οὖν μία ἐστὶν Ἀφροδίτη ἢ δίτται οὐρανία τε καὶ πάνδημος, οὐκ οἶδα. καὶ γὰρ Ζεὺς ὁ αὐτὸς δοκῶν εἶναι, πολλὰς ἐπωνυμίας ἔχει. ὅτι γε μέντοι χωρὶς ἑκατέρᾳ βωμοί τέ εἰσι καὶ ναοὶ καὶ θυσίαι. τῇ μὲν πανδήμῳ ῥᾳδιουργότεραι, τῇ δὲ οὐρανίᾳ ἁγνότεραι, οἶδα. εἰκάσαις δ' ἂν καὶ τοὺς ἔρωτας, τὴν μὲν πάνδημον, τῶν σωμάτων ἐπιπέμπειν, τὴν δ' οὐρανίαν, τῆς ψυχῆς τε καὶ τῆς φιλίας καὶ τῶν καλῶν ἔργων. ὑφ' οὗ δὴ καὶ σὺ ὦ Καλλία κατέχεσθαί μοι δοκεῖς ἔρωτος. τεκμαίρομαι δὲ, τῇ τοῦ ἐρωμένου καλοκαγαθίᾳ. καὶ ὅτι σε ὁρῶ τὸν πατέρα αὐτοῦ παραλαμβάνοντα εἰς τὰς πρὸς τοῦτον συνουσίας. οὐδὲν γὰρ τούτων ἐστὶν ἀπόκρυφον πα-

Duplex ē Venus, cœleſtis & popularis.

τρὸς, τῷ

τινὸς διατελῶ. χαρμίδην δὲ τόν γε οἶδα, πολλοὺς μὲν ἐραστὰς κτησάμενον· ἔστι δὲ ὧν καὶ αὐτὸν ἐπιθυμήσαντα. κριτόβουλός γε μὴν ἔτι καὶ νῦν ἐρώμενος ὢν, ἤδη ἄλλων ἐπιθυμεῖ. ἀλλὰ μὴν καὶ ὁ νικήρατος ὡς ἐγὼ ἀκούω, ἐρῶν τῆς γυναικὸς, ἀντεράται. ἑρμογένην γε μὴν τίς ἡμῶν οὐκ οἶδεν, ὡς ὅ,τι ποτ' ἐστὶν ἡ καλοκαγαθία, τῷ ταύτης ἔρωτι κατατήκεται. οὐχ ὁρᾶτε ὡς σπουδαῖαι μὲν αὐτοῦ αἱ ὀφρύες, ἀτρεμὲς δὲ τὸ ὄμμα, μέτριοι δὲ οἱ λόγοι, πρᾳεῖα δὲ ἡ φωνὴ, ἱλαρὸν δὲ τὸ ἦθος; τοῖς δὲ σεμνοτάτοις θεοῖς φίλοις χρώμενος, οὐδὲ ἡμᾶς τοὺς ἀνθρώπους ὑπερορᾷ; σὺ δὲ μόνος ὦ ἀντίσθενες οὐδενὸς ἐρᾷς; ναὶ μὰ τοὺς θεοὺς εἶπεν ἐκεῖνος, καὶ σφόδρα γε σοῦ. καὶ ὁ σωκράτης ἐπισκώψας ὡς δὴ θρυπτόμενος, εἶπε, μὴ νῦν μοι ἐν τῷ παρόντι ὄχλον πάρεχε. ὡς γὰρ ὁρᾷς, ἄλλα πράττω. καὶ ὁ ἀντισθένης ἔλεξεν ὡς σαφῶς μέντοι σὺ μαστροπὲ σαυτοῦ, ἀεὶ ταῦτα ποιεῖς. τότε μὲν τὸ δαιμόνιον προφασιζόμενος, οὐ διαλέγῃ μοι. τότε δ' ἄλλου του ἐφιέμενος. καὶ ὁ σωκράτης ἔφη πρὸς τῶν θεῶν ὦ ἀντίσθενες μόνον μὴ συγκόψῃς με. τὴν δ' ἄλλην χαλεπότητα, ἐγώ σου καὶ φέρω καὶ οἴσω φιλικῶς. ἀλλὰ γὰρ ἔφη τὸν μὲν σὸν ἔρωτα, κρύπτωμεν ἐπειδή καὶ ἔστιν οὐ ψυχῆς

τόγε θαυμασίοις ἐντυχεῖν, εἴ τις τούτου δεῖται, ἀλλ' ἔξεστιν αὐτίκα μάλα τὰ παρόντα θαυμάζειν. τί ποτε ὁ μὲν λύχνος διὰ τὸ λαμπρὰν φλόγα ἔχειν, φῶς παρέχει· τὸ δὲ χαλκεῖον λαμπρὸν ὄν, φῶς μὲν οὐ ποιεῖ, ἐν αὑτῷ δὲ ἄλλα ἐμφαινόμενα παρέχεται. καὶ πῶς τὸ μὲν ἔλαιον ὑγρὸν ὂν αὔξει τὴν φλόγα, τὸ δὲ ὕδωρ, ὅτι ὑγρόν ἐστι κατασβέννυσι τὸ πῦρ. ἀλλὰ γὰρ καὶ ταῦτα μὲν, οὐκ εἰς ταὐτὸν τῷ οἴνῳ ἐπισπεύδει· εἰ δὲ ὀρχοῖντο πρὸς τὸν αὐλὸν σχήματα ἐν οἷς χάριτές τε καὶ ὧραι καὶ νύμφαι γράφονται, πολὺ ἂν οἶμαι αὐτούς τε ῥᾷον διάγειν καὶ τὸ συμπόσιον πολὺ ἐπιχαριτώτερον εἶναι. ὁ οὖν συρακόσιος, ἀλλὰ ναὶ μὰ τὸν Δί' ἔφη ὦ σώκρατες, καλῶς γε λέγεις. καὶ ἐγὼ εἰσάξω θεάματα, ἐφ' οἷς ὑμεῖς εὐφρανεῖσθε. ὁ μὲν δὴ συρακόσιος ἐξελθὼν, συνεκροτεῖτο. ὁ δὲ σωκράτης πάλιν αὖ, καινοῦ λόγου κατῆρχεν. ἆρ' ἔφη ὦ ἄνδρες εἰκὸς ἡμᾶς παρόντος δαίμονος μεγάλου, καὶ τῷ μὲν χρόνῳ ἰσήλικος τοῖς ἀειγενέσι θεοῖς, τῇ δὲ μορφῇ, νεωτάτου καὶ μεγέθει πάντα ἐπέχοντος. ψυχῇ δὲ ἀνθρώπου ἱδρυμένου ἔρωτος μὴ ἂν ἀμνημονῆσαι; ἄλλως τε καὶ ἐπειδὴ πάντες ἐσμὲν τοῦ θεοῦ τούτου θιασῶται. ἐγώ τε γὰρ οὐκ ἔχω χρόνον εἰπεῖν, ἐν ᾧ οὐκ ἐρῶν

τινός

μένῳ τοιγε σπουδῶν, οἶδα ὅπως ἄξια τοῦ δείπνου ἐργάσομαι. καὶ ῥᾳδίως γ' ἂν ἃ μὴ δεῖ λέγειν ἐφασιωπᾶς, αὕτη μὲν δὴ ἡ παροινία, οὕτω κατεσβέσθη. ἐκ τούτου δὲ τῶν ἄλλων οἱ μὲν ἐκέλευον εἰκάζειν. οἱ δὲ, ἐκώλυον. θορύβου δὲ ὄντος, ὁ Σωκράτης αὖ πάλιν εἶπεν. ἆρα ἐπειδὴ πάντες ἐπιθυμοῦμεν λέγειν, νῦν ἂν μάλιστα καὶ ἅμα ᾄσαιμεν; καὶ εὐθὺς τοῦτ' εἰπὼν, ἦρχεν ᾠδῆς. ἐπει δ' ᾖσαν, εἰσεφέρετο τῇ ὀρχηστρίδι τροχὸς τῶν κεραμεικῶν, ἐφ' οὗ ἔμελλε θαυματουργήσειν. ἔνθα δὴ εἶπεν ὁ Σωκράτης, ὦ Συρακόσιε, κινδυνεύσω ἐγὼ ὥσπερ σὺ λέγεις, τῷ ὄντι φροντιστὴς εἶναι. νῦν οὖν σκοπῶ, ὅπως ἂν ὁ μὲν παῖς ὅδε ὁ σὸς καὶ ἡ παῖς ἥδε, ὡς ῥᾷστα διάγοιεν. ἡμεῖς ἂν μάλιστα εὐφραινοίμεθα θεώμενοι αὐτοὺς, ὅπερ εὖ οἶδα, ὅτι καὶ σὺ βούλει. δοκεῖ οὖν μοι τὸ μὲν εἰς μαχαίρας κυβιστᾶν, κινδύνου ἐπίδειγμα εἶναι, ὃ συμποσίῳ οὐδὲν προσήκει. καὶ μὴν τό γε ἐπὶ τοῦ τροχοῦ ἅμα περιδινουμένου γράφειν τε καὶ ἀναγινώσκειν, θαῦμα μὲν ἴσως τί ἐστιν. ἡδονὴν δὲ, οὐδὲ ταῦτα δύναμαι γνῶναι, τί ἂν παράσχοι. οὐδὲ μὴν τό γε διαστρέφοντας τὰ σώματα καὶ τροχοὺς μιμουμένους ἥδιον, ἢ ἡσυχίαν ἔχοντας, τοὺς καλοὺς καὶ ὡραίους θεωρεῖν. καὶ γὰρ δὴ, οὐδὲ πάνυ τι σπάνιον

εἴπερ, ἆρα σὺ ὦ σώκρατες ὁ φροντιστὴς ἐπικαλούμενος; οὐκοῦν κάλλιον ἔφη, ἢ εἰ ἀφρόντιστος ἐκαλούμην, εἰ μή γε ἐδόκεις τῶν μετεώρων φροντιστὴς εἶναι. οἶσθα οὖν ἔφη σωκράτης μετεωρότερόν τι τῶν θεῶν; ἀλλ' οὐ μὰ Δί' ἔφη οὐ τούτων σε λέγουσιν ἐπιμελεῖσθαι ἀλλὰ τῶν ἀνωφελεστάτων. οὐκοῦν καὶ οὕτως ἂν ἔφη θεῶν ἐπιμελοίμην, ἄνωθεν μέν γε ὕοντες, ὠφελοῦσιν, ἄνωθεν δὲ φῶς παρέχουσιν. εἰ δὲ ψυχρὰ λέγω, σὺ αἴτιος ἔφη πράγματά μοι παρέχων. ταῦτα μὲν ἔφη, ἔα, ἀλλ' εἰπέ μοι, πόσους ψύλλα πόδας ἐμοῦ ἀπέχει. ταῦτα γάρ σε φασὶ γεωμετρεῖν. καὶ ὁ ἀντισθένης, εἶπε, σὺ μέν τοι δεινὸς εἶ ὦ φίλιππε εἰκάζειν. οὐ δοκεῖ σοι ὁ ἀνὴρ οὗτος λοιδορεῖσθαι βουλομένῳ ἐοικέναι; ναὶ μὰ τὸν Δί' ἔφη καὶ ἄλλοις γε πολλοῖς. ἀλλ' ὅμως ἔφη ὁ σωκράτης σὺ αὐτὸν μὴ εἴκαζε, ἵνα μὴ καὶ σὺ λοιδορουμένῳ ἐοίκῃς. ἀλλ' εἴπερ γε τοῖς πᾶσι καλοῖς καὶ τοῖς βελτίστοις εἰκάζω αὐτὸν, ἐπαινοῦντι μᾶλλον ἢ λοιδορουμένῳ δικαίως ἂν εἰκάζοιμι. καὶ νῦν σύ γε λοιδορουμένῳ ἔοικας, εἰ πάντ' αὐτοῦ βελτίων φὴς εἶναι. ἀλλὰ βούλει πονηροτέροις εἰκάζω αὐτόν; μηδὲ πονηροτέροις. ἀλλὰ μηδενί; μηδενὶ μηδὲ τούτων εἴκαζε. ἀλλ' οὐ

μέντοι γε

τὸ μοι δοκοῦν, εἴποιμ' ἄν, ἀλλὰ δοκεῖ τοῦτ'· Quid
ἔφη, τὸ τοίνυν παρ' οἶνον λυπεῖν τοὺς συνόντας, ſit τα
τοῦτ' ἐγὼ κρίνω παροινίαν. οἶσθα οὖν ἔφη ὅτι καὶ παροινία
σὺ νῦν ἡμᾶς λυπεῖς σιωπῶν; ἢ καὶ ὅταν λέγητε
ἔφη; οὐ ἀλλ' ὅταν διαλίπωμεν. ἢ οὖν λέληθέ σε
ὅτι μεταξὺ τοῦ ὑμᾶς λέγειν οὐδ' ἂν τρίχα μὴ
ὅτι λόγον ἄν τις παρείρειε. καὶ ὁ σωκράτης, ἔχοις
ἄν τι ἔφη. ἀνδρὶ ἐλεγχομένῳ βοηθῆσαι; ἔγωγ'
ἔφη ὅταν γὰρ ὁ αὐλὸς φθέγγηται, παντάπασι σι-
ωπῶμεν. καὶ ὁ ἑρμογένης, ἢ οὖν βούλεσθαι ἔφη,
ὥσπερ νικόστρατος ὁ ὑποκριτὴς τετράμετρα
πρὸς τὸν αὐλὸν κατέλεγεν, οὕτω καὶ ὑπὸ τὸν αὐ-
λὸν ὑμῖν διαλέγωμαι; καὶ ὁ σωκράτης, πρὸς
τῶν θεῶν ἔφη ἑρμόγενες, οὕτω ποίει. οἶμαι γὰρ
ὥσπερ ἡ ᾠδὴ ἡδίων πρὸς τὸν αὐλὸν, οὕτω καὶ τοὺς
σοὺς λόγους ἡδύνεσθαι ἄν τι ὑπὸ τῶν φθόγγων.
ἄλλως τε, καὶ εἰ μορφάζοις ὥσπερ ἡ αὐλητρὶς καὶ
σὺ πρὸς τὰ λεγόμενα. καὶ ὁ καλλίας ἔφη, ὅταν
οὖν ὁ ἀντισθένης ὅδ' ἐλέγχῃ τινὰ ἐν τῷ συμπο-
σίῳ τί ἔσται τὸ αὔλημα; καὶ ὁ ἀντισθένης εἶπε,
τῷ μὲν ἐλεγχομένῳ οἶμαι ἂν ἔφη πρέπειν συ-
ριγμόν. τοιούτων δὲ λόγων ὄντων ὡς ἑώρα ὁ
συρακόσιος, τῶν μὲν αὑτοῦ ἐπιδειγμάτων ἀμελοῦν-
τας ἀλλήλοις δὲ ἡδομένους, φθονῶν τῷ σωκράτει,

ναΐδες θεαὶ οὖσαι, τοὺς σειληνοὺς ἐμοὶ ὁμοιοτέρους
τίκτουσιν ἢ σοί; καὶ ὁ κριτόβουλος, οὐκ ἔτι ἔφη ἔχω
πρὸς σὲ ἀντιλέγειν, ἀλλὰ διαφερόντων ἔφη τὰς
ψήφους, ἵνα ὡς τάχιστα εἰδῶ ὅ,τι με χρὴ παθεῖν
ἢ ἀποτῖσαι. μόνον ἔφη κρυφῇ φερόντων. δέδοι-
κα γὰρ τὸν σόν τε καὶ ἀντισθένους πλοῦτον, μή με κα
ταδυναστεύσῃ. ἡ μὲν δὴ παῖς καὶ ὁ παῖς, κρύφα
ἀνέφερον. ὁ δὲ σωκράτης, ἐν τούτῳ διεπράττε
τόν τε λύχνον ἀντιπροσενεγκεῖν τῷ κριτοβού-
λῳ ὡς μὴ ἐξαπατηθείησαν οἱ κριταὶ, καὶ τῷ νικῶ-
ντι, μὴ ταινίας ἀλλὰ φιλήματα, ἀναδήμα
τα παρὰ τῶν κριτῶν γενέσθαι. ἐπεὶ δὲ ἐξέπεσον
αἱ ψῆφοι καὶ ἐγένοντο πᾶσαι σὺν κριτοβούλῳ,
παπαῖ ἔτη ὁ σωκράτης, οὐχ ὅμοιον ἔοικε τὸ σὸν
ἀργύριον ὦ κριτόβουλε τῷ καλλίου εἶναι. τὸ μὲν
γὰρ τούτου, δικαιοτέρους ποιεῖ. τὸ δὲ σὸν, ὥσπερ
τὸ πλεῖστον, διαφθείρειν ἱκανόν ἐστι καὶ δικαστὰς
καὶ κριτάς. ἐκ δὲ τούτου οἱ μὲν, τὰ νικητήρια
φιλήματα ἀπολαμβάνειν τὸν κριτόβουλον ἐκέ
λευον. οἱ δὲ τὸν κύριον πείθειν. οἱ δὲ, καὶ ἄλλα
ἔσκωπτον. ὁ δὲ ἑρμογένης, κἀνταῦθα ἐσιώπα.
,, καὶ ὁ σωκράτης ὀνομάσας αὐτὸν, ἔχοις ἂν ὦ ἑρ
,, μόγενες εἰπεῖν ἡμῖν τί ἐστι παροινία; καὶ ὃς ἀπεκρί
,, νατο. εἰ μὲν ὅ,τι ἐστὶν ἐρωτᾷς, οὐκ οἶδα, ὅ μέν

τοι μοι

ἔφη ὀφθαλμῶν τίνος ἕνεκα δεόμεθα; δῆλον ἔφη, ὅτι τοῦ ὁρᾶν· οὕτω μὲν τοίνυν ἤδη οἱ ἐμοὶ ὀφθαλμοὶ καλλίονες ἂν τῶν σῶν εἴησαν. πῶς δή; ὅτι οἱ μὲν σοὶ τὸ κατ' εὐθὺ μόνον ὁρῶσιν. οἱ δὲ ἐμοὶ, καὶ τὸ ἐκ πλαγίου, διὰ τὸ ἐπιπόλαιοι εἶναι. λέγεις σὺ ἔφη καρκίνον εὐοφθαλμότατον εἶναι τῶν ζώων; πάντως δήπου ἔφη. ἐπεὶ καὶ πρὸς ἰσχὺν τοὺς ὀφθαλμοὺς ἄριστα πεφυκότας ἔχει. τῶν δὲ ῥινῶν, ποτέρα καλλίων, ἡ σὴ, ἢ ἡ ἐμή; ἐγὼ μὲν ἔφη οἶμαι τὴν ἐμήν. εἴπερ γε τοῦ ὀσφραίνεσθαι ἕνεκεν ἐποίησαν ἡμῖν ῥῖνας οἱ θεοί, οἱ μὲν γὰρ σοὶ μυκτῆρες, εἰς γῆν ὁρῶσιν. οἱ δὲ ἐμοὶ ἀναπέπτανται ὥστε τὰς πάντοθεν ὀσμὰς προσδέχεσθαι. τὸ δὲ δὴ σιμὸν τῆς ῥινὸς, πῶς τοῦ ὀρθοῦ κάλλιον; ὅτι ἔφη οὐκ ἀντιφράττει, ἀλλ' εὐθὺς ἐᾷ τὰς ὄψεις ὁρᾶν, ἃ ἂν βούλωνται. ἡ δὲ ὑψηλὴ ῥὶς, ὥσπερ ἐπηρεάζουσα διατετείχικε τὰ ὄμματα. τοῦ γε μὴν στόματος ἔφη ὁ Κριτόβουλος ὑφίεμαι. εἰ γὰρ τοῦ ἀποδάκνειν ἕνεκα πεποίηται, πολὺ ἂν σὺ μεῖζον ἢ ἐγὼ ἀποδάκοις. διὰ δὲ τὸ παχέα ἔχειν τὰ χείλη, οὐκ οἴει καὶ μαλακώτερόν σου ἔχειν τὸ φίλημα; ἔοικα ἔφη ἐγὼ κατὰ τὸν σὸν λόγον, καὶ τῶν ὄνων αἴσχιον τὸ στόμα ἔχειν. ἐκεῖνο δὲ οὐδὲν τεκμήριον λογίζῃ ὡς ἐγὼ σοῦ καλλίων εἰμί. ὅτι καὶ

καὶ πόλεσι καὶ φίλοις καὶ συμμάχοις κεκτῆσθαι.
σὺ δὲ ὡς κακῶς ἀκούσας ὅτι ἀγαθόν σε ἔφην
προαγωγὸν εἶναι, ὠργίσθης. ἀλλὰ μὰ Δί' ἔφη
οὐ νῦν. ἐὰν γὰρ ταῦτα δύνωμαι, σεσαγμένος δὴ
παντάπασι πλούτου τὴν ψυχὴν ἔσομαι. καὶ αὕ-
τη μὲν δὴ ἡ περίοδος τῶν λόγων ἀπετελέσθη.
ὁ δὲ καλλίας εἶπε. σὺ δὲ δὴ ὦ κριτόβουλε εἰς
τὸν περὶ τοῦ κάλλους ἀγῶνα πρὸς σωκράτην
οὐκ ἀνθίστασαι; νὴ Δί' ἔφη ὁ σωκράτης, ἴσως γὰρ
εὐδοκιμοῦντα τὸν μαστροπὸν, παρὰ τοῖς κριταῖς
ὁρᾷ. ἀλλ' ὅμως ἔφη ὁ κριτόβουλος οὐκ ἀναδύο-
μαι. ἀλλὰ δίδασκε εἴ τι ἔχεις σοφὸν, ὡς καλ-
λίων εἶ ἐμοῦ. μόνον ἔφη τὸν λαμπτῆρα ἐγγὺς προ-
σενεγκάτω. εἰς ἀνάκρισιν τοίνυν σε ἔφη πρῶτον
τῆς δίκης καλοῦμαι. ἀλλ' ἀποκρίνου, σὺ δὲ ἐρώ-
τα. πότερον οὖν ἐν ἀνθρώπῳ μόνον νομίζεις τὸ κα-
λὸν εἶναι, ἢ καὶ ἐν ἄλλῳ τινί. ἐγὼ μὲν, ναὶ μὰ
Δί' ἔφην καὶ ἐν ἵππῳ καὶ βοΐ, καὶ ἐν ἀψύχοις πολ-
λοῖς. οἶδα γοῦν οὖσαν καὶ ἀσπίδα καλὴν, καὶ ξίφος
καὶ δόρυ. καὶ πῶς ἔφη οἷόν τε ταῦτα μηδὲν ὅμοια
ὄντα ἀλλήλοις, πάντα καλὰ εἶναι. ἢν νὴ Δί'
ἔφη πρὸς τὰ ἔργα ὧν ἕνεκα ἕκαστα κτώμεθα, εὖ
εἰργασμένα ᾖ, ἢ εὖ πεφυκότα πρὸς ἃ ἂν δεώμεθα.
καὶ ταῦτ' ἔφη ὁ κριτόβουλος καλά. οἶσθα οὖν

ἔφη ὀφθαλ-

παραδίδως ὦ σώκρατες τὴν τέχνην; καὶ μὰ Δί᾽ ἔφη, ὁρῶ γάρ σε καὶ τὴν ἀκόλουθον ταύτης, πάνυ ἐξειργασμένον. τίνα ταύτην. τὴν προαγωγείαν ἔφη. καὶ ὃς μάλα ἀχθεσθεὶς, ἐπήρετο. καὶ τί μοι σύνοιδας ὦ σώκρατες τοιοῦτον εἰργασμένῳ; οἶδα μὲν ἔφη σε καλλίαν τουτονὶ προαγωγεύσαντα τῷ σοφῷ προδίκῳ ὅτε ἑώρας τοῦτον μὲν φιλοσοφίας ἐρῶντα. ἐκεῖνον δὲ, χρημάτων δεόμενον. οἶδα δέ σε ἱππίᾳ τῷ ἠλείῳ. παρ᾽ οὗ οὗτος τὸ μνημονικὸν ἔμαθεν. ἀφ᾽ οὗ δὴ καὶ ἐρωτικώτερος πεπένηται. διὰ τὸ, ὅ,τι ἂν κακὸν ἴδῃ, μηδέποτε ἐπιλανθάνεσθαι. ἔναγχος δὲ δήπου καὶ πρὸς ἐμὲ ἐπαινῶν τὸν ἡρακλεώτην ξένον, ἐπεί με ἐποίησας ἐπιθυμεῖν αὐτοῦ, συνέστησάς μοι αὐτόν. καὶ χάριν μέντοι σοι ἔχω. πάνυ γὰρ καλὸς κἀγαθὸς δοκεῖ μοι εἶναι. αἰσχύλον δὲ τὸν φλιάσιον πρὸς ἐμὲ ἐπαινῶν καὶ ἐμὲ πρὸς ἐκεῖνον, οὐχ οὕτω διέθηκας ὥστε διὰ τοὺς σοὺς λόγους ἐρῶντες ἐκυνοδρομοῦμεν ἀλλήλους ζητοῦντες; ταῦτα μὲν οὖν ὁρῶν δυνάμενόν σε ποιεῖν, ἀγαθὸν νομίζω προαγωγὸν εἶναι. ὁ γὰρ οἷός τε ὢν γιγνώσκειν τε τοὺς ὠφελίμους αὑτοῖς. καὶ τούτους δυνάμενος ποιεῖν ἐπιθυμεῖν ἀλλήλων, οὗτος ἄν μοι δοκεῖ καὶ πόλεις δύνασθαι φίλας ποιεῖν, καὶ γάμους ἐπιτηδείους συνάγειν. καὶ πολλοῦ ἂν ἄξιος εἶναι

ἀρέσκοντα τοῦτον ἢ ταύτην ἀποδεικνύναι οἷς ἂν συνῇ; πά-
νυ μὲν οὖν ἔφασαν. οὐκοῦν ἓν μέν τί ἐστιν εἰς τὸ
ἀρέσκειν ἐκ τοῦ πρέπουσαν ἔχειν σχέσιν καὶ τριχῶν
καὶ ἐσθῆτος; πάνυ μὲν οὖν ἔφασαν. οὐκοῦν καὶ τό-
δε ἐπιστάμεθα ὅτι ἔστιν ἀνθρώπῳ τοῖς αὐτοῖς ὄμμα-
σι καὶ φιλικῶς καὶ ἐχθρῶς πρός τινας βλέπειν;
πάνυ μὲν οὖν. τί δὲ τῇ αὐτῇ φωνῇ ἔστι καὶ αἰδημό-
νως καὶ θρασέως φθέγγεσθαι; πάνυ μὲν οὖν. τί
δὲ λόγοι, οὐκ εἰσὶ μέν τινες ἀπεχθανόμενοι, εἰ-
σὶ δέ τινες οἱ πρὸς φιλίαν ἄγοντες; πάνυ μὲν οὖν.
οὐκοῦν τούτων ὁ ἀγαθὸς μαστροπὸς τὰ συμφέροντα
εἰς τὸ ἀρέσκειν διδάσκοι ἄν; πάνυ μὲν οὖν. ἀμεί-
νων δ' ἂν εἴη ἔφη ὁ ἑνὶ δυνάμενος ἀρεστοὺς ποιεῖν.
ἢ ὅστις καὶ πολλοῖς. ἐνταῦθα μὲν ἐσχίσθησαν· καὶ οἱ
μὲν, εἶπον δῆλον ὅτι ὅστις πλείστοις. οἱ δὲ πάνυ
μὲν οὖν. ὁ δ' εἰπὼν ὅτι καὶ τοῦτο ὁμολογεῖται, ἔφη.
εἰ δέ τις καὶ ὅλῃ τῇ πόλει ἀρέσκοντας δύναιτο ἀπο-
δεικνύναι, οὐχ οὗτος παντελῶς ἂν ἤδη μαστροπὸς
εἴη; σαφῶς γε νὴ Δία πάντες εἶπον. οὐκοῦν εἴ τις
τοιούτους δύναιτο ἐξεργάζεσθαι ὧν προστατοίη, δικαί-
ως ἂν μέγα φρονοίη ἐπὶ τῇ τέχνῃ; καὶ δικαίως ἂν
πολὺν μισθὸν λαμβάνοι. ἐπεὶ δὲ καὶ ταῦτα πάν-
τες συνωμολόγουν, τοιοῦτος μέντοι ἔφη μοι δο-
κεῖ Ἀντισθένης εἶναι οὗτος. καὶ ὁ Ἀντισθένης, ἐμοὶ ἔφη

παραδίδως

σὺ δ' ὡς ἔοικας εἰ τοῦτο γένοιτο νομίζεις ἂν διαφθαρῆναι αὐτόν; καὶ μὰ Δί' ἔφη παντάπασί γε. οὐδ' αὐτὸς ἄρ' ἔφη συγκαθεύδεις αὐτῷ; νὴ Δί' ὅλας γε καὶ πάσας τὰς νύκτας. νὴ τὴν Ἥραν ἔφη ὁ σωκράτης, εὐτύχημά γέ σου μέγα τὸ, τὸν χρῶτα τοιοῦτον φῦναι ἔχοντα, ὥστε μόνον μὴ διαφθείρειν τοὺς συγκαθεύδοντας. ὥστε σοί γε εἰ μὴ ἐπ' ἄλλῳ, ἀλλ' ἐπὶ τῷ χρωτὶ ἄξιον μέγα φρονεῖν. Ἀλλὰ μὰ Δί' ἔφη, οὐκ ἐπὶ τούτῳ μέγα φρονῶ. ἀλλ' ἐπὶ τῷ μήν. ὅτι νὴ Δία τοῖς ἄφροσιν. οὗτοι γὰρ τὰ ἐμὰ νευρόσπαστα θεώμενοι, τρέφουσί με. ταῦτα γοῦν ἔφη Φίλιππος καὶ πρώην ἐγώ σου ἤκουον εὐχομένου πρὸς τοὺς θεούς, ὅπου ἂν ᾖς, διδόναι. καρποῦ μὲν ἀφθονίαν, φρενῶν δὲ ἀφορίαν. οἷον ἔφη ὁ καλλίας. σὺ δὲ δὴ ὦ σώκρατες, τί ἔχεις εἰπεῖν, ὡς ἄξιόν σοι ἐστὶ μέγα φρονεῖν, ἐφ' ᾗ εἶπας οὕτω ἀδόξῳ οὔσῃ τέχνῃ, καὶ ὃς εἶπεν. ὁμολογησώμεθα πρῶτον, ποῖά ἐστιν ἔργα τοῦ μαστροποῦ, καὶ ὅσα ἂν ἐρωτῶ, μὴ ὀκνεῖτε ἀποκρίνεσθαι. ἵνα εἰδῶμεν, ὅσα ἂν συνομολογῶμεν. καὶ ὑμῖν οὕτω δοκεῖ ἔφη. πάνυ μὲν οὖν ἔφασαν. ὡς δ' ἅπαξ εἶπον, πάνυ μὲν οὖν τοῦτο πάντες ἐκ τοῦ λοιποῦ ἀπεκρίναντο. οὐκοῦν ἀγαθοῦ μὲν ἔφη ὑμῖν δοκεῖ μαστροποῦ ἔργον εἶναι, ἣν ἂν ἢ ὃν ἂν μαστροπύῃ,

Boni lenonis officiū.

νὴ Δί᾽ ἔφη σωκράτης εἰ ἄρα τοιοῦτος ὢν φίλους
αὐτοὺς ἔχεις, καὶ οἱ θεοὶ ὡς ἔοικε καλοκαγαθίᾳ ἥ-
δονται. οὗτος μὲν δὴ ὁ λόγος, οὕτως ἐσπουδαι-
ολογήθη. ἐπειδὴ δὲ εἰς τὸν φίλιππον ἧκον ἠρώ-
των αὐτὸν, τί ὁρῶν ἐν τῇ γελωτοποιΐᾳ μέγα
ἐπ᾽ αὐτῇ φρονοίη. οὐ γὰρ ἄξιον ἔφη, ὁπότε γε
πάντες εἰδότες ὅτι γελωτοποιός εἰμι, ὅταν
μέν τι ἀγαθὸν ἔχωσι, παρακαλοῦσι με ἐπὶ ταῦ-
τα προθύμως. ὅταν δὲ κακὸν λάβωσι, φεύγου-
σιν ἀμεταστρεπτί. φοβούμενοι, μὴ καὶ ἄκοντες
γελάσωσι· καὶ ὁ νικήρατος εἶπε. νὴ δία σὺ τοίνυν
δικαίως μέγα φρονεῖς. ἐμοὶ γὰρ αὖ τῶν φίλων
οἱ μὲν εὖ πράττοντες, ἐκποδὼν ἀπέρχονται.
οἱ δ᾽ ἂν κακόν τι λάβωσι, γενεαλογοῦσι τὴν συγ-
γένειαν. καὶ οὐδέποτέ μου ἀπολείπονται. εἶεν.
σὺ δὲ δὴ ἔφη ὁ χαρμίδης συρακόσιε, ἐπὶ τῷ μέ-
γα φρονεῖς; ἢ δῆλον, ὅτι ἐπὶ τῷ παιδί; μὰ τὸν
Δί᾽ ἔφη, οὐ μὲν δή. ἀλλὰ καὶ δέδοικα περὶ αὐτοῦ
ἰσχυρῶς. αἰσθάνομαι γάρ τινας, ἐπιβουλεύον-
τας διαφθεῖραι αὐτόν. καὶ ὁ σωκράτης ἀκούσας
ἡράκλεις ἔφη, τί τοσοῦτον νομίζοντες ἠδικῆσθαι
ὑπὸ τοῦ σοῦ παιδὸς, ὥστε ἀποκτεῖναι αὐτὸν
βούλεσθαι. ἀλλ᾽ οὔτοι ἔφη ἀποκτεῖναι βούλον-
ται, ἀλλὰ πεῖσαι αὐτὸν συγκαθεύδειν αὐτοῖς.

μέγα τε δύνανται καὶ ὅσου ἐπιμέλονται, ἵνα δοκεῖς δικαίως ἐπ' αὐτοῖς μέγα φρονεῖν. οὐκοῦν ὡς μὲν καὶ Ἕλληνες καὶ βάρβαροι τοὺς θεοὺς ἡγοῦνται ,, πάντα εἰδέναι τά τε ὄντα καὶ τὰ μέλλοντα, εὔδηλον. ,, πᾶσαι γοῦν αἱ πόλεις καὶ πάντα τὰ ἔθνη ,, διὰ μαντικῆς ἐπερωτῶσι τοὺς θεούς, τὰ μὲν φαῦ- ,, λα ἀποτρέπειν, τἀγαθὰ δὲ διδόναι. Οὗτοι τοί- ,, νυν οἱ πάντα μὲν εἰδότες, πάντα δὲ δυνάμενοι ,, θεοί, οὕτω μοι φίλοι εἰσίν, ὥστε διὰ τὸ ἐπιμε- ,, λεῖσθαί μου, οὔποτε λήθω αὐτοὺς οὔτε νυκτὸς οὔθ' ἡμέρας, οὔθ' ὅποι ἂν ὁρμῶμαι, οὔθ' ὅ,τι ἂν μέλλω πράττειν. διὰ δὲ προειδέναι καὶ ὅ,τι ἐξ ἑκάστου ἀποβήσεται, σημαίνουσί μοι πέμποντες ἀγγέλους, φήμας καὶ ἐνύπνια καὶ οἰωνούς, ἅ τε δεῖ καὶ ἃ οὐ χρὴ ποιεῖν. οἷς ἐγὼ ὅταν μὲν πείθωμαι, ,, οὐδέποτέ μοι μεταμέλει. ἤδη δέ ποτε καὶ ἀπιστή- ,, σας ἐκολάσθην. καὶ ὁ σωκράτης, εἶπεν, ἀλλὰ ,, τούτων μὲν, οὐδὲν ἄπιστον ἐκεῖνο μέντοι ἔγωγε ἡδέως ἂν πυθοίμην, πῶς αὐτοὺς θεραπεύων, οὕτω φίλους ἔχεις. ναὶ μὰ τὸν Δί' ἔφη ὁ ἑρμογένης καὶ μάλα εὐτελῶς. ἐπαινῶ τε γὰρ αὐτούς, οὐδὲν δαπανῶν. ὧν τε διδόασιν, ἀεὶ αὖ παρέχομαι. εὐφημῶ τε ὅσα ἂν δύνωμαι. καὶ ἐφ' οἷς ἂν αὐτοὺς μάρτυρας ποιήσωμαι, ἑκὼν οὐδὲν ψεύδομαι.

Dei sūt amici optimi & certißimi.

Quō retinenda deorū amicitia.

νῷ, ἀλλὰ πᾶσι τοῖς φίλοις, καὶ ἐπιδεικνύω τὴν ἀφθονίαν, καὶ μεταδίδωμι τῷ βουλομένῳ, τοῦ ἐν τῇ ἐμῇ ψυχῇ πλούτου. καὶ μὴν καὶ τὸ ἁβρότατόν γε κτῆμα τὴν σχολὴν ἀεὶ ὁρᾶτέ μοι παροῦσαν, ὥστε καὶ θεᾶσθαι τὰ ἀξιοθέατα, καὶ ἀκούειν τὰ ἀξιάκουστα. καὶ ὃ πλείστου ἐγὼ τιμῶμαι Σωκράτει σχολάζων συνδιημερεύειν, καὶ οὗτος δὲ, οὐ τοὺς πλεῖστον ἀριθμοῦντας χρυσίον θαυμάζει, ἀλλ' οἳ ἂν αὐτῷ ἀρέσκωσι, τούτοις συνὼν διατελεῖ. οὗτος μὲν οὖν οὕτως εἶπεν. ὁ δὲ Καλλίας νὴ τὴν Ἥραν ἔφη, τά τε ἄλλα ζηλῶ σε τοῦ πλούτου, καὶ ὅτι οὔτε ἡ πόλις σοι ἐπιτάττουσα ὡς δούλῳ χρῆται, οὔτε οἱ ἄνθρωποι ἢν μὴ δανείσῃς, ὀργίζονται. ἀλλὰ μὰ Δί' ἔφη Νικήρατος, μὴ ζήλου. ἐγὼ γὰρ ἥξω παρ' αὐτοῦ δανεισάμενος, τὸ μηδενὸς προσδεῖσθαι, οὕτω πεπαιδευμένος ὑπὸ Ὁμήρου ἀριθμεῖν·

Otium res iucundiſsima.

ΙΛ. ι. Ἑπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα
Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους.

σταθμῷ καὶ ἀριθμῷ ὡς πλείστου πλούτου ἐπιθυμῶν οὐ παύομαι. ὅθεν ἴσως καὶ φιλοχρηματώτερός τισι δοκῶ εἶναι. ἔνθα δὴ ἀνεγέλασαν ἅπαντες, νομίζοντες τὰ ὄντα εἰρηκέναι αὐτόν. ἐκ τούτου εἶπέ τις, σὸν ἔργον ὦ Ἑρμόγενες, λέγειν τε τοὺς φίλους οἵτινές εἰσι, καὶ ἐπιδεικνύναι, ὡς

ἄλλον αὐταῖς ἐθέλειν προσιέναι. καὶ πάντα γε τοίνυν ταῦτα οὕτως ἡδέα μοι δοκεῖ εἶναι, ὡς μᾶλλον μὲν ἥδεσθαι ποιῶν ἕκαστα αὐτῶν, οὐκ ἂν εὐξαίμην. ἧττον δὲ τούτων μοι δοκεῖ ἔνια αὐτῶν ἡδίω εἶναι τοῦ συμφέροντος. πλείστου δ' ἄξιον κτῆμα ἐν τῷ ἐμῷ πλούτῳ λογίζομαι εἶναι ἐκεῖνο, ὅτι εἴ μου τίς καὶ τὰ νῦν ὄντα παρέλοιτο, οὐδὲν οὕτως ὁρῶ φαῦλον ἔργον, ὁποῖον οὐκ ἀρκοῦσαν ἂν τροφὴν ἐμοὶ παρέχοι. καὶ γὰρ ὅταν ἡδυπαθῆσαι βουληθῶ, οὐκ ἐκ τῆς ἀγορᾶς τὰ τίμια ὠνοῦμαι. πολυτελῆ γὰρ γίνεται. ἀλλ' ἐκ τῆς ψυχῆς ταμιεύομαι. καὶ πολὺ πλεῖον διαφέρει πρὸς ἡδονήν, ὅταν ἀναμείνας τὸ δεηθῆναι προσφέρωμαι, ἢ ὅταν τινὶ τῶν τιμίων χρῶμαι. ὥσπερ καὶ νῦν τῷδε τῷ Θασίῳ οἴνῳ ἐντυχὼν, οὐ διψῶν πίνω αὐτόν, ἀλλὰ μὴν καὶ πολὺ δικαιοτέρους γε εἰκὸς εἶναι, τοὺς εὐτέλειαν μᾶλλον ἢ πολυχρηματίαν σκοποῦντας. οἷς γὰρ μάλιστα τὰ παρόντα ἀρκεῖ, ἥκιστα τῶν ἀλλοτρίων ὀρέγονται. ἄξιον δ' ἐννοῆσαι, ὡς καὶ ἐλευθερίους ὁ τοιοῦτος πλοῦτος παρέχεται. σωκράτης τε γὰρ οὗτος παρ' οὗ ἐγὼ τοῦτον ἐκτησάμην, οὔτ' ἀριθμῷ, οὔτε σταθμῷ ἐπήρκει μοι. ἀλλ' ὁπόσον ἐδυνάμην φέρεσθαι τοσοῦτόν μοι παρεδίδου. ἐγώ τε νυνὶ, οὐδενὶ φθο-

Qui præſentibus cõtēti ſũt aliena non appetunt.

„ αἰσθάνομαι δὲ, καὶ τυράννους τινὰς, οἳ οὕτως αὖ
„ πεινῶσι χρημάτων, ἅτε ποιοῦσι πολὺ δεινότε
ρα τῶν ἀπορωτάτων. δι' ἔνδειαν μὲν γὰρ δήπου
οἱ μὲν, κλέπτουσιν, οἱ δὲ, τοιχωρυχοῦσιν. οἱ δὲ,
ἀνδραποδίζονται. τύραννοι δ' εἰσί τινες, οἳ
ὅλους μὲν οἴκους ἀναιροῦσιν. ἀθρόους δ' ἀποκ-
τείνουσι. πολλάκις δὲ καὶ ὅλας πόλεις χρημά
των ἕνεκα ἐξανδραποδίζονται. τούτους μὲν οὖν
„ ἔγωγε, καὶ πάνυ οἰκτείρω τῆς χαλεπῆς νόσου.
„ ὅμοια γάρ μοι δοκοῦσιν πάσχειν, ὥσπερ εἴ τις
„ πολλὰ ἔχων καὶ πολλὰ ἐσθίων, μηδέποτε ἐμ-
„ πίπλαιτο. Ἐγὼ δὲ οὕτω μὲν πολλὰ ἔχω, ὡς
μόλις αὐτὰ καὶ ἐγὼ ἂν αὐτὸς εὑρίσκω. ὅμως
δὲ περίεστί μοι καὶ ἐσθίοντι, ἄχρι τοῦ μὴ πεινῆν
ἀφικέσθαι. καὶ πίνοντι, μέχρι τοῦ μὴ διψῆν, καὶ
ἀμφιέννυσθαι, ὥστε ἔξω μὲν, μηδὲν μᾶλλον
καλλίου τούτου τοῦ πλουσιωτάτου ῥιγοῦν. ἐπειδάν
γε μὴν ἐν τῇ οἰκίᾳ γένωμαι, πάνυ μὲν ἀλεει-
νοὶ χιτῶνες, οἱ τοῖχοι μοι δοκοῦσιν εἶναι πάνυ
δὲ παχεῖαι ἐφεστρίδες, οἱ ὄροφοι. στρωμνήν γε
μὴν οὕτως ἀρκοῦσαν ἔχω, ὥστε ἔργον μέτεστι καὶ
ἀνεγεῖραι, ἢν δέ ποτε καὶ ἀφροδισιάσαι τὸ σῶμα
μου δεηθῇ, οὕτω μοι τὸ παρὸν ἀρκεῖ, ὥστε αἷς ἂν
προσέλθω ὑπερασπάζονταί με, διὰ τὸ μηδένα
ἄλλον

Quarū malorū cauſſa habēdi cupiditas.

κώς. τότε δὲ σαφῶς δοῦλος ἦν. καὶ τότε μὲν
ἐγὼ φόρον ἀπέφερον τῷ δήμῳ. νῦν δὲ ἡ πόλις
τέλος φέρουσα τρέφει με. ἀλλὰ καὶ σωκράτει ὅτε
μὲν πλούσιος ἦν, ἐλοιδόρουν με ὅτι συνῆν, νῦν δὲ
ἐπεὶ πένης γεγένημαι, οὐκ ἔτι οὐδὲ μέλει οὐδε-
νί, καὶ μὴν ὅτε μέν γε πολλὰ εἶχον, ἀεί τι ἀπέ
βαλλον ἢ ὑπὸ τῆς πόλεως, ἢ ὑπὸ τῆς τύχης. νῦν
δὲ ἀποβάλλω μὲν οὐδέν. οὐδὲ γὰρ ἔχω. ἀεὶ δέ
τι λήψεσθαι ἐλπίζω. οὐκοῦν ἔφη ὁ καλλίας
ἢ εὔχῃ μηδέποτε πλουτεῖν; καὶ ἐάν τι ὄναρ ἀγα
θὸν ἴδῃς, τοῖς ἀποτροπαίοις θύοις; Μὰ Δί' τοῦτο
μέντοι ἔφη ἐγὼ οὐ ποιῶ. ἀλλὰ μάλα φιλοκιν
δύνως ὑπομένω, ἢν ποθέν τι ἐλπίζω λήψεσθαι.
ἀλλ' ἄγε δὴ ἔφη ὁ σωκράτης σὺ αὖ λέγε ἡμῖν ὦ
ἀντίσθενες, πῶς οὕτω βραχέα ἔχων, μέγα φρο-
νεῖς ἐπὶ πλούτῳ. ὅτι νομίζω ὦ ἄνδρες τοὺς ἀν-
θρώπους οὐκ ἐν τῷ οἴκῳ τὸν πλοῦτον καὶ τὴν πενίαν
ἔχειν, ἀλλ' ἐν ταῖς ψυχαῖς. ὁρῶ γὰρ πολλοὺς μὲν
ἰδιώτας, οἳ πάνυ πολλὰ ἔχοντες χρήματα, οὕ- *Paupe-*
τω πένεσθαι ἡγοῦνται, ὥστε πάντα μὲν πόνον, *res sũt*
πάντα δὲ κίνδυνον ὑποδύονται, ἐφ' ὧ πλείονα κτή- *etiã o-*
σονται. οἶδα δὲ καὶ ἀδελφούς, οἳ τὰ ἴσα λαχόν- *pulẽtiſ-*
τες, ὁ μὲν αὐτῶν, τἀρκοῦντα ἔχει, καὶ περιττεύοντα *ſimi.*
τὰ ἐπὶ δαπανῆς. ὁ δέ, τοῦ παντὸς ἐνδεῖται.

κομήσῃς, καὶ οὗτοι μὲν δὴ οὕτως ἀναμὶξ ἐσκώ-
ψάντε καὶ ἐσπούδασαν. ὁ δὲ καλλίας, σὸν μέ-
ρος ἔφη λέγειν ὦ χαρμίδη, διότι ἐπὶ πενίᾳ μέ-
,, γα φρονεῖς. οὐκοῦν τόδε μὲν ἔφη ὁμολογεῖται,
,, κρεῖττον εἶναι θαρρεῖν ἢ φοβεῖσθαι, καὶ ἐλεύθε-
ρον εἶναι μᾶλλον, ἢ δουλεύειν. καὶ θεραπεύεσθαι
μᾶλλον ἢ θεραπεύειν. καὶ πιστεύεσθαι ὑπὸ τῆς
πατρίδος μᾶλλον, ἢ ἀπιστεῖσθαι. ἐγὼ τοίνυν
,, ἐν τῇ δὲ τῇ πόλει ὅτι μὲν πλούσιος ἦν, πρῶ-
,, τον μὲν ἐφοβούμην μή τις μου τὴν οἰκίαν διορύ-
,, ξας καὶ τὰ χρήματα λάβοι, καὶ αὐτόν τί με κα-
,, κὸν ἐργάσαιτο. ἔπειτα δὲ, καὶ τοὺς συκοφάντας
,, ἐθεράπευον, εἰδὼς, ὅτι παθεῖν μᾶλλον κακῶς
,, ἱκανὸς εἴην, ἢ ποιῆσαι ἐκείνους. καὶ γὰρ δὴ καὶ
,, προσετάττετο μὲν ἀεί τί μοι δαπανᾶν ὑπὸ τῆς
,, πόλεως. ἀποδημῆσαι δὲ, οὐδαμοῦ ἐξῆν. νῦν
,, δὲ ἐπειδὴ τῶν ὑπερορίων στέρομαι καὶ τὰ ἔγ-
,, γαια οὐ καρποῦμαι, καὶ τὰ ἐκ τῆς οἰκίας πέ-
,, πραται, ἡδέως μὲν καθεύδω ἐκτεταμένος.
,, πιστὸς δὲ τῇ πόλει γεγένημαι. οὐκέτι δὲ ἀπει-
,, λοῦμαι, ἀλλ᾽ ἤδη ἀπειλῶ ἄλλοις. ὡς ἐλευ-
,, θέρῳ τε ἔξεστί μοι, καὶ ἀποδημεῖν καὶ ἐπιδημεῖν.
,, ὑπανίστανται δέ μοι ἤδη καὶ θάκων. καὶ ὁδῶν ἐξί-
,, στανται οἱ πλούσιοι. καὶ εἰμὶ νῦν μὲν τυράννῳ ἐοι-
κώς,

Paupertatis cõmoda.

αὐτοῦ. νῦν δὲ ἤδη εἶδον αὐτὸν καὶ σκαρδαμύξαν-
τα. καί τοι νὴ τοὺς θεοὺς ὦ ἄνδρες, δοκεῖ μοί γ'
ἔφη ὡς ἐν ὑμῖν αὐτοῖς εἰρῆσθαι, οὕτω καὶ περι
ληκεῖναι τὴν κλεινίαν, οὗ ἔρωτος οὐδέν ἐστι δεινό-
τερον ὑπέκκαυμα. καὶ γὰρ ἄπληστον, καὶ ἐλπί-
δας τινὰς γλυκείας παρέχει. ἴσως δὲ καὶ διὰ
τὸ μόνον πάντων ἔργων τὸ τοῖς σώμασι συμψαύειν
ὁμώνυμον εἶναι τῷ ταῖς ψυχαῖς φιλεῖσθαι, ἐν-
τιμότερόν ἐστιν. οὗ ἕνεκα ἀφεκτέον ἐγώ φημι
εἶναι φιλημάτων ὡραίων, τῷ σωφρονεῖν δυνησο-
μένῳ, καὶ ὁ χαρμίδης εἶπεν, ἀλλὰ τί δήποτε
ὦ σώκρατες, ἡμᾶς μὲν οὕτω τοὺς φίλους μορμο
λύττῃ, ἀπὸ τῶν καλῶν. αὐτὸν δέ σε ἔφη ἐγὼ εἶ-
δον ναὶ μὰ τὸν ἀπόλλω. ὅτε παρὰ τῷ γραμ-
ματιστῇ ἐν τῷ αὐτῷ βιβλίῳ ἀμφότεροι ἐμβα
τεύετέ τι, τῇ κεφαλῇ πρὸς τὴν κεφαλήν. καὶ
τὸν ὦμον γυμνὸν, πρὸς γυμνῷ τῷ κριτοβούλου
ὤμῳ ἔχοντα. καὶ ὁ σωκράτης, φεῦ ἔφη. ταῦτ'
ἄρα ἔφη ἐγὼ ὥσπερ ὑπὸ θηρίου τινὸς δεδηγμέ-
νος, τόν τε ὦμον πλεῖον ἢ πέντε ἡμέρας ὤδα
ξαν. καὶ ἐν τῇ καρδίᾳ ὥσπερ κνήσματι ἐδόκουν
ἔχειν. ἀλλὰ νῦν τί σοι ἔφη ὁ κριτόβουλε. ἐναν-
τίον τοσούτων μαρτύρων προαγορεύω μὴ ἅπτε
σθαί μου, πρὶν ἂν τὸ γένειον τῇ κεφαλῇ ὁμοίως

παύσῃ οὐ κλεινίου μεμνημένος; ἢν δὲ μὴ ὀνομάζω, ἧττόν τί με οἴει μεμνῆσθαι αὐτοῦ; οὐκ οἶσθα ὅτι οὕτω σαφῶς ἔχω εἴδωλον αὐτοῦ ἐν τῇ ψυχῇ, ὡς εἰ πλαστικὸς ἢ ζωγραφικὸς ἦν, οὐδὲν ἂν ἧττον ἐκ τοῦ εἰδώλου ἢ πρὸς αὐτὸν ὁρῶν, ὅμοιον αὐτῷ ἀπειργασάμην. καὶ ὁ σωκράτης ὑπέλαβε· τί δῆτα οὕτως ὅμοιον εἴδωλον ἔχων, πράγματά μοι παρέχεις, ἄγεις τε αὐτὸν ὅπου ὄψει. ὅτι ὦ σώκρατες ἡ μὲν αὐτοῦ ὄψις, εὐφραίνειν δύναται, ἡ δὲ τοῦ εἰδώλου, τέρψιν μὲν οὐ παρέχει· πόθεν δὲ ἐμποιεῖ. καὶ ὁ ἑρμογένης εἶπεν· ἀλλ᾽ ἐγὼ ὦ σώκρατες. οὐδὲ πρὸς σοῦ ποιῶ τὸ περιιδεῖν κριτόβουλον, οὕτως ὑπὸ τοῦ ἔρωτος ἐκπλαγέντα. δοκεῖς γὰρ ἔφη ὁ σωκράτης ἐξ οὗ ἐμοὶ σύνεστιν οὕτω διατεθῆναι αὐτόν; ἀλλὰ πότε μήν. οὐχ ὁρᾷς ὅτι τούτῳ μὲν παρὰ τὰ ὦτα ἄρτι ἴουλος καθέρπει. κλεινίᾳ δὲ πρὸς τὸ ὄπισθεν ἤδη ἀναβαίνει; οὗτος οὖν συμφοιτῶν εἰς ταὐτὰ διδασκαλεῖα ἐκείνῳ, τότε ἰσχυρῶς προσεκαύθη. ἃ δὴ αἰσθόμενος ὁ πατὴρ παρέδωκέ μοι αὐτόν, εἴ τι δυναίμην ὠφελῆσαι. καὶ μέντοι πολὺ βέλτιον ἤδη ἔχει. πρόσθεν μὲν γὰρ ὥσπερ οἱ τὰς γοργόνας θεώμενοι, λιθίνως ἔβλεπε πρὸς αὐτόν. καὶ λιθίνως οὐδαμοῦ ἀπήει ἀπ᾽

αὐτοῦ

οἶδα δ' ὅτι καὶ ὑμεῖς μετ' ἐμοῦ. ὥστε μηκέτι
ἀπόρει ὦ σώκρατες, εἴ τι τοὐμὸν κάλλος ἀνθρώ-
ποις ὠφελήσει. ἀλλ' οὐδὲ μὲν τοι ταύτῃ γε
ἀτιμαστέον τὸ κάλλος, ὡς ταχὺ παρακμά-
ζον. ἐπεὶ ὥσπερ γε παῖς γίγνεται καλὸς, οὕτω
καὶ μειράκιον καὶ ἀνὴρ καὶ πρεσβύτης. τεκμήριον
δὲ, θαλλοφόρους δὲ τῇ ἀθηνᾷ, τοὺς καλοὺς γέ-
ροντας ἐκλέγονται, ὡς συμπαρομαρτοῦντας
πάσῃ ἡλικίᾳ τοῦ κάλλους. εἰ δὲ ἡδὺ τὸ παρ'
ἑκόντων διαπράττεσθαι ὧν τις δέοιτο, εὖ οἶδ'
ὅτι καὶ νυνὶ θᾶττον ἂν ἐγὼ καὶ σιωπῶν πείσαιμι
τὸν παῖδα τόνδε, καὶ τὴν παῖδα φιλῆσαι με, ἢ
σὺ ὦ σώκρατες, εἰ καὶ πάνυ πολλὰ καὶ σόφα
λέγοις. τί γὰρ ἔφη ὁ σωκράτης, ὡς γὰρ καὶ
ἐμοῦ καλλίων ὢν, ταῦτα κομπάζεις. νὴ δί'
ἔφη ὁ κριτόβουλος, ἢ πάντων σιληνῶν τῶν
ἐν τοῖς σατυρικοῖς, αἴσχιστος ἂν εἴην. ὁ δὲ σω-
κράτης, καὶ ἐτύγχανε προσεμφερὴς τούτοις ὤν.
ἄγε νῦν ἔφη σωκράτης, ὅπως μεμνήσῃ διακρι-
θῆναι περὶ τοῦ κάλλους ἐπειδὰν οἱ προκείμενοι λό-
γοι περιέλθωσι, κρινάτω δ' ἡμᾶς. μὴ ἀλέξαν-
δρος ὁ πριάμου, ἀλλ' αὐτοὶ οὗτοι, οὕσπερ σὺ οἴει
ἐπιθυμεῖν σε φιλῆσαι. κλεινίᾳ δ' ἔφη ὦ σώκρα-
τες οὐκ ἂν ἐπιτρέψαις; καὶ ὅς εἶπεν, οὐ γὰρ αὖ

ὅτι ἐκεῖνον οὐχ ὁρῶ. ἡμέρᾳ δὲ καὶ ἡλίῳ, τὴν μεγίστην χάριν οἶδα, ὅτι μοι κλεινίαν ἀναφαίνουσιν. ἄξιόν γε μὴν ἡμῖν τοῖς καλοῖς, καὶ ἐπὶ τοῖς δὲ μέγα φρονεῖν. ὅτι τὸν μὲν ἰσχυρὸν, πονοῦντα δεῖ κτᾶσθαι τἀγαθά. καὶ τὸν ἀνδρεῖον, κινδυνεύοντα, τὸν δὲ σοφὸν. λέγοντα. ὁ δὲ καλὸς καὶ ἡσυχίαν ἔχων, πάντ' ἂν διαπράξαιτο. ἐγὼ γ' οὖν καίπερ εἰδὼς ὅτι χρήματα ἡδὺ κτῆμα, ἥδιον μὲν ἂν τὰ ὄντα κλεινίᾳ διδοίην, ἢ ἕτερα παρ' ἄλλου λαμβάνοιμι. ἥδιον δ' ἂν δουλεύοιμι ἢ ἐλεύθερος εἴην, εἴ μου κλεινίας ἄρχειν ἐθέλοι. καὶ γὰρ πονοίην ἂν ῥᾷον ἐκείνῳ. ἢ ἀναπα[illegible]ίμην. καὶ κινδυνεύοιμ' ἂν πρὸς ἐκείνου ἥδιον, ἢ ἀκίνδυνος ζῴην. ὥστε εἰ σὺ ὦ καλλία μέγα φρονεῖς, ὅτι δικαιοτέρους δύνασαι ποιεῖν, ἐγὼ πρὸς πᾶσαν ἀρετὴν, δικαιότερός σου εἰμὶ ἄγειν ἀνθρώπους. διά γε μὴν τὸ ἐμπνεῖν τι ἡμᾶς τοὺς καλοὺς τοῖς ἐρωτικοῖς, ἐλευθεριωτέρους μὲν αὐτοὺς ποιοῦμεν εἰς χρήματα. φιλοπονωτέρους δὲ καὶ φιλοκαλωτέρους ἐν τοῖς κινδύνοις. καὶ μὴν αἰδημονεστέρους τε ἐγκρατεστέρους. οἵ γε καὶ ὧν δέονται μάλιστα, ταῦτ' αἰσχύνονται. μαίνονται δὲ καὶ οἱ μὴ τοὺς καλοὺς στρατηγοὺς αἱρούμενοι. ἐγὼ γοῦν μετὰ κλεινίου κἂν διὰ πυρὸς ἰοίην.

οἶδα

οὐ μόνον σῖτον, ἀλλὰ καὶ ποτὸν ἥδιον. εἰ δὲ δὴ ὄψον τι μετὰ δεῖπνον τρωξόμεθα, ὅπως μὴ φήσῃ τίς ἡμᾶς πρὸς καλλίαν ἐλθόντας, ἡδυπαθεῖν. μηδαμῶς ἔφη σωκράτης, εἰς μὲν γὰρ μάχην ὁρμωμένῳ, καλῶς ἔχει κρόμυον ἀποτρώγειν, ὥσπερ ἔνιοι τοὺς ἀλεκτρυόνας σκόροδα σιτίσαντες, συμβάλλουσιν. ἡμεῖς δὲ ἴσως βουλευόμεθα, ὅπως φιλήσομέν τινα μᾶλλον ἢ μαχούμεθα. καὶ οὗτος μὲν δὴ ὁ λόγος οὕτω πως ἐπαύσατο. ὁ δὲ κριτόβουλος, οὐκοῦν αὖ ἐγὼ λέξω ἔφη, ἐξ ὧν ἐπὶ τῷ κάλλει μέγα φρονῶ. λέγε ἔφασαν. εἰ μὲν τοίνυν μὴ καλός εἰμι ὡς οἴομαι, ὑμεῖς ἂν δικαίως ἀπάτης δίκην ὑπέχοιτε. οὐδενὸς γὰρ ὁρκίζοντος ἀεὶ ὀμνύοντες, καλόν με φατὲ εἶναι. κἀγὼ μέντοι πιστεύω. καλοὺς γὰρ καὶ ἀγαθοὺς ὑμᾶς ἄνδρας νομίζω. εἰ δ' εἰμί τε τῷ ὄντι καλὸς, καὶ ὑμεῖς τὰ αὐτὰ πρὸς ἐμὲ πάσχετε οἷάπερ ἐγὼ πρὸς τὸν ἐμοὶ δοκοῦντα καλὸν εἶναι, ὄμνυμι πάντας θεοὺς, μὴ ἑλέσθαι ἂν τὴν βασιλέως ἀρχὴν ἀντὶ τοῦ καλὸς εἶναι. νῦν γὰρ ἐγὼ κλεινίαν, ἥδιον μὲν θεῶμαι, ἢ τἆλλα πάντα τὰ ἐν ἀνθρώποις καλά· τυφλὸς δὲ τῶν ἄλλων ἁπάντων μᾶλλον ἂν δεξαίμην εἶναι, ἢ κείνου ἑνὸς ὄντος ἄχθομαί τε καὶ νυκτὶ καὶ ὕπνῳ,

Homerus. ρὶ πάντων τῶν ἀνθρωπίνων. ὅς τις ἂν ὑμῶν βού-
» λητται ἢ οἰκονομικὸς ἢ δημηγορικὸς, ἢ στρατηγι-
» κὸς γενέσθαι, ἢ ὅμοιος ἀχιλλεῖ, ἢ αἴαντι, ἢ νέ-
» στορι, ἢ ὀδυσσεῖ, ἐμὲ θεραπευέτω. Ἐγὼ γὰρ ταῦτα
» πάντα ἐπίσταμαι. ἦ καὶ βασιλεύειν ἔφη ὁ ἀντι-
σθένης ἐπίστασαι· ὅτι οἶσθα ἐπαινέσαντα αὐτὸν
Ιλ. γ. τὸν ἀγαμέμνονα ὡς. βασιλεύς τε εἴη ἀγαθὸς
κρατερός τ' αἰχμητής; καὶ ναὶ μὰ δί' ἔφη ἔγω-
γε, ὅτι ἁρματηλατοῦντα δεῖ ἐγγὺς μὲν τῆς στή-
Ιλ. ψ. λης κάμψαι, αὐτὸν δὲ, κλινθῆναι ἐϋξέστου ἐπὶ
δίφρου. ἦκ' ἐπ' ἀριστερὰ τοῖιν ἀτὰρ τὸν δεξιὸν
ἵππον, κένσαι ὁμοκλήσαντ' εἶξαί τέ οἱ ἡνία
χερσί. καὶ πρὸς τούτοις γε, ἄλλο οἶδα, καὶ ὑμῖν
Ιλ. λ. αὐτίκα μὰ δί' ἔξεστι πειρᾶσθαι. εἶπε γάρ που ὅ-
μηρος, ἐπὶ δὲ κρόμυον ποτῷ ὄψον. ἐὰν
οὖν ἐνέγκῃ τις κρόμυον. αὐτίκα μάλα τοῦτό
γε ὠφελημένοι ἔσεσθαι. ἥδιον γὰρ πιεῖσθε. καὶ ὁ
χαρμίδης εἶπεν, ὦ ἄνδρες, ὁ νικήρατος κρομύ-
ων ὄζων, ἐπιθυμεῖ οἴκαδε ἐλθεῖν, ἵνα ἡ γυνὴ αὐ-
τοῦ πιστεύῃ, μὴ διανοηθῆναι μηδένα ἂν φιλῆσαι
αὐτόν. νὴ δί' ἔφη ὦ σώκρατες, ἀλλ' ἄλλην
που δόξαν γελοίαν, κίνδυνος ἡμῖν προσλαβεῖν.
ὄψον μὲν γὰρ δὴ οὕτως ἔοικεν εἶναι ὡς κρόμυόν γε

ὃ οὐ μόνον

ψυχὰς δικαιοτέρας ποιεῖς: μάλιστα. πῶς; ὅτι διδάσκω εἰδέναι ὡς ἔστιν ὅτου πριάμενοι τὰ ἐπιτήδεια ἕξουσιν, οὐκ ἐθέλουσι κακουργοῦντες κινδυνεύειν. ἦ καὶ σοὶ ἔφη ἀποδιδόασιν ὅ,τι ἂν λάβωσι; μὰ τὸν Δί᾽ ἔφη οὐ μὲν δή. τί δὲ ἀντὶ τοῦ ἀργυρίου χάριτας. οὐ μὰ τὸν Δί᾽ ἔφη οὐδὲ ταύτας ἀλλ᾽ ἔνιοι καὶ ἐχθιόνως ἔχουσιν, ἢ πρὶν λαβεῖν. θαυμαστά γ᾽ ἔφη ὁ ἀντισθένης ἅμα εἰσβλέπων, ὡς ἐλέγχων αὐτόν. εἰ μὲν πρὸς τοὺς ἄλλους, δύνασαι δικαίους ἂν ποιεῖν αὐτούς, πρὸς δὲ σεαυτὸν, οὔ. καὶ τί τοῦτ᾽ ἔφη ὁ καλλίας θαυμαστόν. οὐ καὶ τέκτονάς τε καὶ οἰκοδόμους πολλοὺς ὁρᾷς, οἳ ἄλλοις μὲν πολλοῖς ποιοῦσιν οἰκίας ἑαυτοῖς δὲ οὐ δύνανται ποιῆσαι, ἀλλ᾽ ἐν μισθῷ αὐταῖς οἰκοῦσι; καὶ ἀμάχου μέν τοι ὦ σοφιστὰ ἐλεγχόμενος. νὴ Δί᾽ ἔφη σωκράτης, αἰσχέσθω μέν τοι. ἐπεὶ καὶ οἱ μάντεις λέγονται δήπου, ἄλλοις μὲν προαγορεύειν τὸ μέλλον, ἑαυτοῖς δὲ μὴ προορᾶν τὸ ἐπιόν. οὗτος μὲν δὴ ὁ λόγος, ἐνταῦθα ἔληξεν. ἐκ τούτου δὲ ὁ νικήρατος, ἀκούοιτ᾽ ἂν ἔφη καὶ ἐμοῦ, ἃ ἔσεσθε βελτίονες, ἂν ἐμοὶ συνῆτε. ἴστε γὰρ δήπου ὅτι ὁ ὅμηρος ὁ σοφώτατος, πεποίηκε σχεδὸν π

ὦ λύκων ὅτι πλουσιώτατος εἶ ἀνθρώπων; μὰ δί' ἔφη οὐ μέν τοι ἐγὼ οὐκ οἶδα. ἀλλὰ λανθάνει σε ὅτι οὐκ ἂν δέξαιο τὰ βασιλέως χρήματα ἀντὶ τοῦ υἱοῦ; ἐπ' αὐτοφώρῳ εἴλημμαι ἔφη. πλουσιώτατος ὡς ἔοικεν ἀνθρώπων ὤν. σὺ δὲ ἔφη ὁ νικήρατος ὦ ἑρμόγενες, ἐπὶ τίνι μάλιστα ἀγάλλῃ. καὶ ὅς, ἐπὶ φίλων ἔφη ἀρετῇ καὶ δυνάμει· καὶ ὅτι τοιοῦτοι ὄντες, ἐμοῦ ἐπιμέλονται. ἐνταῦθα τοίνυν, πάντες προσέβλεψαν αὐτῷ· καὶ πολλοὶ ἅμα ἤροντο, εἰ καὶ σφίσι δηλώσοι αὐτούς· ὁ δὲ εἶπεν ὅτι οὐ φθονήσει. ἐκ τούτου ἔλεξεν ὁ σωκράτης· οὐκοῦν, λοιπὸν ἂν εἴη ἡμῖν, ἃ ἕκαστος ὑπέσχετο ἀποδεικνύναι, ὡς πολλοῦ ἄξιά ἐστιν. ἀκούοιτ' ἂν ἔφη ὁ καλλίας ἐμοῦ πρῶτον. ἐγὼ γὰρ ἐν τῷ χρόνῳ ὦ ὑμῶν ἀκούω ἀπορούντων τί τὸ δίκαιον, ἐν τούτῳ δικαιοτέρους τοὺς ἀνθρώπους ποιῶ. καὶ ὁ σωκράτης, πῶς ὦ λῷστε ἔφη. διδοὺς νὴ δί' ἀργύριον. καὶ ὁ ἀντισθένης ἐπαναστάς, μάλα ἐλεγκτικῶς αὐτὸν ἐπήρετο. οἱ δὲ ἄνθρωποι ὦ καλλία, πότερον ἐν ταῖς ψυχαῖς ἔφη, ἢ ἐν τῷ βαλαντίῳ τὸ δίκαιόν σοι δοκοῦσιν ἔχειν; ἐν ταῖς ψυχαῖς ἔφη. κἄπειτα σὺ εἰς τὸ βαλάντιον διδοὺς ἀργύριον τὰς

ψυχὰς

ἐπὶ πενίᾳ μέγα φρονῶ. νὴ Δί᾽ ἔφη Σωκράτης, ἐπ᾽ Paupertas tutũ bonum
εὐχαρίστῳ γε πράγματι. τοῦτο γὰρ δὴ, ἥκιστα μὲν
ἐπίφθονον, ἥκιστα δὲ περιμάχητον καὶ ἀφύλακ-
τον ὂν, σώζεται. καὶ ἀμελούμενον, ἰσχυρότερον ,,
γίνεται. σὺ δὲ δὴ ἔφη ὁ Καλλίας, ἐπὶ τίνι μέγα ,,
φρονεῖς ὦ Σώκρατες. καὶ ὃς μάλα σεμνῶς ἀνα-
σπάσας τὸ πρόσωπον, ἐπὶ μαστροπείᾳ εἶπεν.
ἐπεὶ δὲ ἐγέλασαν ἐπ᾽ αὐτῷ· ὑμεῖς μὲν γελᾶτε
ἔφη. ἐγὼ δὲ οἶδ᾽ ὅτι καὶ πάνυ ἂν πολλὰ χρήμα-
τα λαμβάνοιμι, εἰ βουλοίμην χρῆσθαι τῇ τέχ-
νῃ. σύ γε μὴν δῆλον ἔφη Λύκων τὸν Φίλιππον,
ἐπὶ τῷ γελωτοποιεῖν μέγα φρονεῖς, δικαιότε-
ρόν γ᾽ ἔφη οἴομαι ἢ Καλλιππίδης ὁ ὑποκριτής.
ὃς ὑπερσεμνύνεται ὅτι δύναται πολλοὺς κλαί-
οντας καθίζειν. οὐκοῦν καὶ σὺ ἔφη ὁ Ἀντισθένης λέ-
ξεις ὦ Λύκων, ἐπὶ τίνι μέγα φρονεῖς. καὶ ὃς ἔφη
οὐ γὰρ ἅπαντες ἴστε ἔφη ἐπὶ τούτῳ τῷ υἱεῖ; οὗ-
τός γε μὴν ἔφη τις. δῆλον ὅτι ἐπὶ τῷ νικηφό-
ρος εἶναι. καὶ ὁ Αὐτόλυκος ἀνερυθριάσας εἶπε. μὰ
Δί᾽ οὐκ ἔγωγε. ἐπεὶ δὲ ἅπαντες ἡσθέντες ὅτι
ἤκουσαν αὐτοῦ φωνήσαντος προσέβλεψαν, ἤρε-
τό τις αὐτὸν, ἀλλ᾽ ἐπὶ τῷ μὴν αὐτόλυκε. ὁ
δὲ εἶπεν. ὅτι ἐπὶ τῷ πατρί. καὶ ἅμα ἀνεκλί-
θη αὐτῷ. καὶ ὁ Καλλίας ἰδὼν, ἆρ᾽ οἶσθα ἔφη

ὁ ἐπιμελούμενος ὅπως ἀνὴρ ἀγαθὸς γενοίμην,
ἠνάγκασέ με πάντα τὰ ὁμήρου ἔπη μαθεῖν. καὶ
νῦν δυναίμην ἂν, ἰλιάδα ὅλην καὶ ὀδύσσειαν
ἀπὸ στόματος εἰπεῖν. ἐκεῖνο δ' ἔφη ὁ ἀντισθένης
λέληθέ σε, ὅτι καὶ οἱ ῥαψῳδοὶ πάντες, ἐπίσταν-
ται ταῦτα τὰ ἔπη. καὶ πῶς ἂν ἔφη λελήθοι ἀ-
κροώμενόν γε αὐτῶν ὀλίγου ἀν' ἑκάστην ἡμέραν, οἶ-
σθα τί οὖν ἔθνος ἔφη ἠλιθιώτερον ῥαψῳδῶν,
οὐ μὰ τὸν Δί' ἔφη ὁ νικήρατος. οὔκουν ἔμοιγε δο-
κεῖ. δῆλον γοῦν ἔφη ὁ σωκράτης, ὅτι τὰς ὑπο-
νοίας οὐκ ἐπίστανται. σὺ δὲ στησιμβρότῳ τε καὶ
ἀναξιμάνδρῳ καὶ ἄλλοις πολλοῖς, πολὺ δέδωκας
ἀργύριον, ὥστε οὐδέν σε τῶν πολλοῦ ἀξίων λέ-
ληθε. τί γὰρ σὺ ἔφη ὦ κριτόβουλε, ἐπὶ τίνι μέγι-
στον φρονεῖς. ἐπὶ κάλλει ἔφη, ἦ οὖν καὶ σὺ ὦ σώκρα-
τες ἔφη ἕξεις λέγειν, ὅτι τῷ σῷ κάλλει, ἱκα-
νὸς εἶ βελτίους ἡμᾶς ποιεῖν εἰ δὲ μὴ, δῆλόν γε ὅ-
τι φαῦλος φανοῦμαι. τί δαὶ εἶπεν, ἐπὶ τίνι μέγα
φρονεῖς ὦ ἀντίσθενες. ἐπὶ πλούτῳ ἔφη, ὁ μὲν δὴ
ἑρμογένης ἀνήρετο, εἰ πολὺ εἴη αὐτῷ ἀργύριον. ὁ
δὲ, ἀπώμοσε, μηδὲ ὀβολόν. ἀλλὰ γῆν πολλὴν ἔφη
κέκτησαι, ἴσως ἂν ἔφη αὐτολύκῳ τούτῳ, ἱκανή γέ-
νοιτο ἐγκονίσασθαι. ἀκουστέον ἂν εἴη καὶ σοῦ. τί γὰρ σὺ
ἔφη ὦ χαρμίδη, ἐπὶ τίνι μέγα φρονεῖς; ἐγὼ αὖ ἔφη,
ἐπὶ

πολὺ βελτίονες οἰόμεθα εἶναι. οὐκ αἰσχρὸν οὖν εἰ μὴ δ' ἐπιχειρήσομεν συνόντες ὠφελεῖν τι ἢ εὐφραίνειν ἀλλήλους. ἐντεῦθεν εἶπον πολλοί. σὺ τοίνυν ἡμῖν ἐξηγοῦ, ποίων λόγων ἁπτόμενοι, μάλιστ' ἂν ταῦτα ποιοῖμεν. Ἐγὼ μὲν τοίνυν ἔφη, ἥδιστ' ἂν ἀπολαύοιμι παρὰ καλλίου τὴν ὑπόσχεσιν. ἔφη γὰρ δήπου εἰ συνδειπνοῖμεν, ἐπιδείξειν τὴν αὑτοῦ σοφίαν. καὶ ἐπιδείξω γε ἔφη, ἐὰν καὶ ὑμεῖς ἅπαντες εἰς μέσον φέρητε ὅ,τι ἕκαστος ἐπίσταται ἀγαθόν. ἀλλ' οὐδείς σοι ἔφη ἀντιλέγει τὸ, μὴ οὐ λέξειν ὅ,τι ἕκαστος ἡγεῖται, πλείστου ἄξιον ἐπίστασθαι. Ἐγὼ μὲν τοίνυν ἔφη λέγω ὑμῖν, ἐφ' ᾧ μέγιστον φρονῶ. ἀνθρώπους γὰρ οἶμαι ἱκανὸς εἶναι βελτίους ποιεῖν. καὶ ὁ ἀντισθένης, εἶπε πότερον τέχνην τινὰ βαναυσικὴν ἢ καλοκαγαθίαν διδάσκων. ἢ καλοκαγαθία ἐστὶν, ἡ δικαιοσύνη. νὴ Δί' ἔφη ὁ ἀντισθένης, ἥ γε ἀναμφιλογωτάτη. ἐπεί τοι ἀνδρεία μὲν καὶ σοφία, ἔστιν ὅτε βλαβερὰ καὶ φίλοις καὶ πόλει δοκεῖ εἶναι. ἡ δὲ δικαιοσύνη. οὐδὲ καθ' ἓν συμμίγνυται τῇ ἀδικίᾳ. ἐπειδὰν τοίνυν καὶ ὑμῶν ἕκαστος εἴπῃ ὅ,τι ὠφέλιμον ἔχει, τότε κἀγὼ οὐ φθονήσω εἰπεῖν τὴν τέχνην δι' ἧς τοῦτο ἀπεργάζομαι. ἀλλὰ σὺ αὖ ἔφη λέγε ὦ νικήρατε, ἐπὶ ποίᾳ ἐπιστήμῃ μέγα φρονεῖς. καὶ ὃς εἶπεν. ὁ πατὴρ

ζῇ, οὐ δύναται ὀρθοῦσθαι. οὐδὲ ταῖς αὔραις διαπνεῖσθαι. ὅταν δὲ ὅσῳ ἥδεται τοσούτῳ πίνῃ, καὶ μάλα ὀρθά τε αὔξεται καὶ θάλλοντα ἀφικνεῖται εἰς τὴν καρποφορίαν. οὕτω δὲ καὶ ἡμεῖς, ἢν μὲν ἀθρόον τὸ ποτὸν ἐγχεώμεθα, ταχὺ ἡμῖν καὶ τὰ σώματα καὶ αἱ γνῶμαι σφαλοῦνται. καὶ οὐδὲ ἀναπνεῖν, μὴ ὅτι λέγειν τι δυνησόμεθα. ἢν δὲ ἡμῖν οἱ παῖδες μικραῖς κύλιξι πυκνὰ ἐπιψεκάζωσιν, ἵνα καὶ ἐγὼ ἐν γοργιείοις ῥήμασιν εἴπω, οὕτως οὐ βιαζόμενοι ὑπὸ τοῦ οἴνου μεθύειν ἀλλ᾽ ἀναπειθόμενοι, πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα. ἐδόκει μὲν δὴ ταῦτα πᾶσι. προσέθηκε δὲ ὁ φίλιππος ὡς χρὴ τοὺς οἰνοχόους, μιμεῖσθαι τοὺς ἀγαθοὺς ἁρματηλάτας θᾶττον περιελαύνοντας τὰς κύλικας. οἱ μὲν δὴ οἰνοχόοι, οὕτως ἐποίουν. ἐκ δὲ τούτου συνηρμοσμένην τῇ λύρᾳ πρὸς τὸν αὐλὸν, ἐκιθάρισεν ὁ παῖς καὶ ᾖσεν. ἔνθα δὴ ἐπῄνεσαν μὲν ἅπαντες. ὁ δὲ χαρμίδης καὶ εἶπεν. ἀλλ᾽ ἐμοὶ μὲν δοκεῖ ὦ ἄνδρες ὡς περὶ σωκράτης ἔφη τὸν οἶνον, οὕτω καὶ αὕτη ἡ κρᾶσις τῶν τε παίδων τῆς ὥρας καὶ τῶν φθόγγων τὰς μὲν λύπας κοιμίζειν. τὴν ἀφροδίτην ἐγείρειν. ἐκ τούτου δὲ πάλιν εἶπεν ὁ σωκράτης. οὗτοι μὲν δὴ ὦ ἄνδρες ἱκανοὶ τέρπειν ἡμᾶς φαίνονται. ἡμεῖς δὲ τούτων, οἶδ᾽ ὅτι

πολὺ

τήν τε τοῦ παιδὸς καὶ τὴν τῆς παιδὸς ὄρχησιν. καὶ πρῶτον μὲν, ὅτι ἐπήνεσαν ὡς ὁ παῖς σὺν τοῖς σχήμασιν ἔτι καλλίων ἐφαίνετο, αὐτὰ παρέλεξεν ὅτι κινοίη τοῦ σώματος, ἅπαν τῆς φύσεως γελοιότερον. ὅτι δὲ ἡ παῖς εἰς τοὔπισθεν καμπτομένη τροχοὺς ἐμιμεῖτο· ἐκεῖνος. ταῦτα εἰς τοὔμπροσθεν ἐπικύπτων μιμεῖσθαι τροχοὺς ἐπειρᾶτο, τέλος δ' ὅτι τὸν παῖδ' ἐπῄνουν ὡς ἐν τῇ ὀρχήσει ἅπαν τὸ σῶμα γυμνάζοι, κελεύσας τὴν αὐλητρίδα θᾶττον ἀεὶ ῥυθμὸν ἐπάγειν. ἵει ἅμα πάντα καὶ σκέλη καὶ χεῖρας καὶ κεφαλήν. ἐπειδὴ δὲ ἀπειρήκει, κατακλινόμενος εἶπε. τεκμήριον ὦ ἄνδρες ὅτι καλῶς γυμνάζει, καὶ τὰ ἐμὰ ὀρχήματα. ἐγὼ γ' οὖν διψῶ, καὶ ὁ παῖς ἐγχεάτω μοι τὴν μεγάλην φιάλην. νὴ Δί' ἔφη ὁ καλλίας καὶ ἡμῖν γε. ἐπεὶ καὶ ἡμεῖς διψῶμεν ἐπὶ σοὶ γελῶντες. ὁ δ' αὖ σωκράτης εἶπεν. ἀλλὰ πίνειν μὲν ὦ ἄνδρες, καὶ ἐμοὶ πάνυ δοκεῖ. τῷ γὰρ ὄντι ὁ οἶνος ἄρδων τὰς ψυχὰς, τὰς μὲν λύπας ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους κοιμίζοι. τὰς δὲ φιλοφροσύνας, ὥσπερ ἔλαιον φλόγα ἐγείρει. δοκεῖ μέντοι μοι καὶ τὰ τῶν ἀνδρῶν συμπόσια ταῦτα πάσχειν, ἅπερ καὶ τὰ ἐν γῇ φυομένων. καὶ γὰρ ἐκεῖνα ὅταν μὲν ὁ θεὸς αὐτὰ ἄγαν ἀθρόως ποτί-

Socratis de bibēdo ſententia.

ἔσω ἐκείνῳ γελᾶτε, ὅτι οὐ δεήσει με συγγυμνασὴν ζητεῖν, οὐδ' ἐν ὄχλῳ πρεσβύτην ὄντα, ἀποδύεσθαι, ἀλλ' ἀρκέσει μοι οἶκος ἑπτάκλινος. ὥσπερ καὶ νῦν τῷδε τῷ παιδὶ ἤρκεσε δὲ τὸ οἴκημα ἐνιδρῶσαι. καὶ χειμῶνος μὲν, ἐν στέγῃ γυμνάσομαι. ὅταν δὲ ἄγαν καῦμα ᾖ, ἐὰν σκιᾷ ἢ τόδε γελᾶτε εἰ μείζω τοῦ καιροῦ τὴν γαστέρα ἔχων μετριωτέραν βούλομαι ποιῆσαι αὐτήν; ἢ οὐκ ἴστε ὅτι ἔναγχος ἕωθεν χαρμίδης οὑτοσὶ κατέλαβέ με ὀρχούμενον; ναὶ μὰ τὸν δί' ἔφη ὁ χαρμίδης. καὶ τό γε μὲν πρῶτον, ἐξεπλάγην, καὶ ἔδεισα μὴ μαίνοιο. ἐπεὶ δέ σου ἤκουσα ὅμοια οἷς νῦν λέγεις, καὶ αὐτὸς ἐλθὼν οἴκαδε. ὠρχούμην μὲν οὔ. οὐ γὰρ πώποτε τοῦτ' ἔμαθον, ἐχειρονόμουν δὲ ταῦτα γὰρ ἠπιστάμην. νὴ δί' ἔφη ὁ φίλιππος. καὶ γὰρ οὖν οὕτω τὰ σκέλη τοῖς ὤμοις φαίνῃ ἰσοφόρα ἔχειν. ὥστε δοκεῖς ἐμοὶ κἂν εἰ τοῖς ἀγορανόμοις ἀφιστῴης, ὥσπερ ἄρτους τὰ κάτω πρὸς τὰ ἄνω ἀζήμιος ἂν γενέσθαι, καὶ ὁ καλλίας εἶπεν. ὦ σώκρατες. ἐμὲ μὲν παρακάλει ὅταν μέλλεις μανθάνειν ὀρχεῖσθαι, ἵνα σοι ἀντιστοιχῶ τε καὶ συμμαθάνω, ἄγε δὴ ἔφη ὁ φίλιππος, καὶ ἐμοὶ αὐλησάτω, ἵνα καὶ ἐγὼ ὀρχήσωμαι. ἐπειδὴ δ' ἀνέστη, διῆλθε μιμούμενος

τήν τε

δρον τὸν δημηγόρον, μανθάνοντα κυβιστᾶν εἰς τὰς μαχαίρας. ὃς νῦν διὰ τὸ μὴ δύνασθαι λόγχαις ἀντιβλέπειν, οὐδὲ συστρατεύεσθαι ἐθέλει. ἐκ τούτου ὁ παῖς ὠρχήσατο, καὶ ὁ Σωκράτης εἶπεν. εἴδετε, ἔφη ὡς καλὸς παῖς ὤν, ὅμως σὺν τοῖς σχήμασιν ἔτι καλλίων φαίνεται ἢ ὅταν ἡσυχίαν ἔχει. καὶ ὁ Χαρμίδης εἶπεν. ἐπαινοῦντι ἔοικας τὸν ὀρχηστοδιδάσκαλον. ναὶ μὰ τὸν Δί' ἔφη ὁ Σωκράτης. καὶ γὰρ ἄλλο τι προσενόησα ὅτι οὐδὲν ἀργὸν τοῦ σώματος ἐν τῇ ὀρχήσει ἦν. ἀλλ' ἅμα καὶ τράχηλος καὶ σκέλη καὶ χεῖρες ἐγυμνάζοντο. ὥσπερ χρὴ ὀρχεῖσθαι τὸν μέλλοντα εὐφορώτερον τὸ σῶμα ἕξειν. καὶ ἐγὼ μὲν ἔφη, πάνυ ἂν ἡδέως ὦ Συρακόσιε μάθοιμι τὰ σχήματα παρὰ σοῦ. καὶ ὅς, τί οὖν χρήσῃ αὐτοῖς ἔφη. ὀρχήσομαι νὴ Δία. ἐνταῦθα δὴ ἐγέλασαν ἅπαντες. καὶ ὁ Σωκράτης μάλα ἐσπουδακότι τῷ προσώπῳ γελᾶτε ἔφη ἐπ' ἐμοί; πότερον ὅτι τούτῳ εἰ βούλομαι γυμναζόμενος μᾶλλον ὑγιαίνειν, ἢ εἰ ἥδιον ἐσθίειν καὶ καθεύδειν. ἢ εἰ τοιούτων γυμνασίων ἐπιθυμῶ, μὴ ὥσπερ οἱ δολιχοδρόμοι τὰ σκέλη μὲν παχύνονται, τοὺς δὲ ὤμους λεπτύνονται. μηδ' ὥσπερ οἱ πύκται, τοὺς μὲν ὤμους παχύνονται, τὰ δὲ σκέλη λεπτύνονται. ἀλλὰ παντὶ διαπονῶν τῷ σώματι, πᾶν ἰσόρροπον ποιεῖν,

τῇ. ὅτι ἔφη ὁρῶ καὶ τοὺς ἱππικοὺς βουλομένους γε-
νέσθαι, οὐ τοὺς εὐπειθεστάτους ἀλλὰ τοὺς θυμοειδεῖς
ἵππους κεκτημένους. νομίζουσι γὰρ ἢν τοὺς τοιούτους
δύνωνται κατέχειν ῥᾳδίως τοῖς γε ἄλλοις ἵπ-
ποις χρήσεσθαι. κἀγὼ δὴ βουλόμενος ἀνθρώ-
ποις χρῆσθαι καὶ ὁμιλεῖν, ταύτην κέκτημαι.
εὖ εἰδὼς ὅτι εἰ ταύτην ὑποίσω, ῥᾳδίως τοῖς
γε ἄλλοις ἅπασιν ἀνθρώποις συνέσομαι. καὶ
οὗτος μὲν δὴ ὁ λόγος, οὐκ ἀπὸ τοῦ σκοποῦ ἔδο-
ξεν εἰρῆσθαι. μετὰ δὲ τοῦτο, κύκλος εἰσηνέχθη
περίμεστος ξιφῶν ὀρθῶν. εἰς μὲν οὖν ταῦτα ἡ ὀρ-
χηστρὶς, ἐκυβίστα τε καὶ ἐξεκυβίστα ὑπὲρ αὐτῶν·
ὥστε οἱ θεώμενοι, ἐφοβοῦντο, μή τι πάθῃ. ἡ δὲ
θαρρούντως τε καὶ ἀσφαλῶς ταῦτα διεπράτ-
τετο. καὶ ὁ σωκράτης καλέσας τὸν ἀντισθένην
εἶπεν· οὔτοι τούς γε θεωμένους τάδε ἀντιλέξει-
ν ἔτι οἴομαι, ὡς οὐχὶ καὶ ἡ ἀνδρεία διδακτόν. ὁπό-
τε αὕτη καίπερ γυνὴ οὖσα, τολμηρῶς εἰς τὰ ξί-
φη ἵεται. καὶ ὁ ἀντισθένης εἶπεν. ἆρ' οὖν καὶ τῷδε
τῷ συρακοσίῳ κράτιστον ἐπιδείξαντι τῇ πόλει
τὴν ὀρχηστρίδα εἰπεῖν· ἐὰν διδῶσιν αὐτῷ ἀθη-
ναῖοι χρήματα, ποιήσειν πάντας ἀθηναίους τολ-
μᾶν ὁμόσε ταῖς λόγχαις ἰέναι. καὶ ὁ φίλιππος,
νὴ δί' ἔφη καὶ μὴν ἔγωγε ἡδέως ἂν θεώμην πείσαν

δρον τὸν

εἰς ταῦτα ἐπιτηδεῦσαι, τούτῳ σύνεσαι. ταῦτα
δὴ πολλοὶ ἐφθέγξαντο. καὶ ὁ μέν τις αὐτῶν εἶπε. τοῦ
οὖν εὑρήσκει τούτου διδάσκαλον; ὁ δέ τις, ὡς
οὐδὲ διδακτὸν τοῦτο εἴη. ἕτερος δέ τις ὡς εἴπερ
τι καὶ ἄλλο, καὶ τοῦτο μαθητέον. ὁ δὲ σωκράτης
ἔφη. τοῦτο μὲν ἐπειδὴ ἀμφίλογόν ἐστιν, εἰσαῦθις
ἀποθώμεθα. νυνὶ δὲ, τὰ προκείμενα ἀποτελῶ
μεν. ὁρῶ γὰρ ἔγωγε τὴν δὲ τὴν ὀρχηστρίδα ἐφεστη
κυῖαν. καὶ τροχούς τινα αὐτῇ προσφέροντα. ἐκ
τούτου δὴ, ηὔλει μὲν αὐτῇ ἡ ἑτέρα. παρεστηκὼς
δέ τις τῇ ὀρχηστρίδι, ἀνεδίδου τοὺς τροχοὺς μέχρι
δώδεκα. ἡ δὲ λαμβάνουσα, ἅμα τε ὠρχεῖτο. καὶ
ἀνερρίπτει δινουμένους. συντεκμαιρομένη ὅσον
ἔδει ῥιπτεῖν ὕψος, ὡς ἐν ῥυθμῷ δέχεσθαι αὐ-
τούς. καὶ ὁ σωκράτης εἶπεν. ἐν πολλοῖς μὲν ὦ
ἄνδρες καὶ ἄλλοις δῆλον καὶ ἐν οἷς δ' ἡ παῖς ποι
εῖ, ὅτι ἡ γυναικεία φύσις, οὐδὲ χεῖρον τῆς τοῦ
ἀνδρὸς οὖσα τυγχάνει. γνώμης δὲ καὶ ἰσχύος
δεῖται. ὥστε εἴ τις ὑμῶν γυναῖκα ἔχει, θαρρῶν
διδασκέτω ὅ,τι βούλοιτ' ἂν αὐτῇ ἐπισταμένῃ
χρῆσθαι. καὶ ὁ ἀντισθένης πῶς οὖν ἔφη ὦ σώκρα
τες οὕτω γιγνώσκων, οὐ καὶ σὺ παιδεύεις ξανθίπ
πην. ἀλλὰ χρῇ, γυναικὶ τῶν οὐσῶν οἶμαι δὲ καὶ
τῶν γεγενημένων καὶ τῶν ἐσομένων χαλεπωτά

οὕτω καὶ ὀσμὴ. ἄλλη μὲν ἀνδρὶ, ἄλλη δὲ γυναικὶ πρέπει. καὶ γὰρ ἀνδρὸς μὲν δήπου ἕνεκα, ἀνὴρ οὐδεὶς μύρῳ χρίεται. αἱ μέντοι γυναῖκες ἄλλως τε καὶ ἢν ὅταν νύμφαι τύχωσιν οὖσαι. ὥσπερ ἡ νικηράτου καὶ κριτοβούλου, μύρου μέν τι καὶ προσδέονται. αὐταὶ γὰρ τοῦτο ὄζουσιν. ἐλαίου δὲ τοῦ ἐν γυμνασίοις ὀσμὴ, καὶ παροῦσα ἡδίων ἢ μύρου γυναιξὶ, καὶ ἀποῦσα ποθεινοτέρα. καὶ γὰρ δὴ μύρῳ μὲν ὁ ἀλειψάμενος καὶ δοῦλος καὶ ἐλεύθερος, εὐθὺς ἅπας ὅμοιον ὄζει. αἱ δ' ἀπὸ τῶν ἐλευθερίων μόχθων ὀσμαὶ, ἐπιτηδευμάτων τε πρῶτον καὶ χρόνου δέονται, εἰ μέλλουσιν ἡδεῖαί τε καὶ ἐλευθέριοι ἔσεσθαι. καὶ ὁ λύκων εἶπεν. οὐκοῦν νέοις μὲν ἂν εἴη ταῦτα. ἡμᾶς δὲ τοὺς μηκέτι γυμναζομένους τίνος ὄζειν δεήσει, καλοκαγαθίας νὴ Δί' ἔφη ὁ σωκράτης. καὶ πόθεν ἄν τις τοῦτο τὸ χρῖσμα λάβοι; οὐ μὰ Δί' ἔφη, οὐ παρὰ τῶν μυροπωλῶν. ἀλλὰ πόθεν δή; ὁ μὲν θέογνις ἔφη.

,, Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ διδάξεαι, ἢν δὲ κακοῖσι
,, συμμιγῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

Καὶ ὁ λύκων, εἶπεν, ἀκούεις ταῦτα ὦ υἱέ; ναὶ μὰ Δί' ἔφη ὁ σωκράτης καὶ χρῆταί γε. ἐπεὶ γοῦν νικηφόρος ἐβούλετο τοῦ παγκρατίου γενέσθαι, σὺν σοὶ σκεψάμενος αὐτὸς ἂν δοκῇ αὐτῷ, ἱκανώτατος εἶ-

εἰς ταῦτα

σθαι. καὶ ἅμα λέγων ταῦτα, ἀπεμύττετό τε καὶ τῇ φωνῇ σαφῶς κλαίειν ἐφαίνετο. πάντες μὲν οὖν, παρεμυθοῦντό τε αὐτὸν, ὡς αὖθις γελασόμενοι, καὶ δειπνεῖν ἐκέλευον, Κριτόβουλος δὲ, καὶ ἐξεκάγχασεν ἐπὶ τῷ οἰκτισμῷ αὐτοῦ. ὁ δ' ὡς ᾔσθετο τοῦ γέλωτος, ἀνεκαλύψατό τε καὶ τῇ ψυχῇ παρακελευσάμενος θαρρεῖν ὅτι ἔσονται συμβολαὶ, πάλιν ἐδείπνει. ὡς δ' ἀφῃρέθησαν αἱ τράπεζαι καὶ ἐσπείσαντο καὶ ἐπαιάνισαν ἔρχεταί τις αὐτοῖς ἐπὶ κῶμον συρακόσιος ἄνθρωπος. ἔχων τε αὐλητρίδα ἀγαθὴν καὶ ὀρχηστρίδα. τῶν τὰ θαύματα δυναμένων ποιεῖν. καὶ παῖδα πάνυ γε ὡραῖον. καὶ πάνυ καλῶς κιθαρίζοντα καὶ ὀρχούμενον. ταῦτα δὲ καὶ ἐπιδεικνὺς ὡς ἐν θαύματι ἀργύριον ἐλάμβανεν. ἐπεὶ δὲ αὐτοῖς ἡ αὐλητρὶς μὲν ηὔλησεν. ὁ δὲ παῖς ἐκιθάρισε. καὶ ἐδόκουν μάλα ἀμφότεροι ἱκανῶς εὐφραίνειν, εἶπεν ὁ σωκράτης. νὴ δί' ὦ καλλία, τελέως ἡμᾶς ἑστιᾷς. οὐ γὰρ μόνον δεῖπνον ἄμεμπτον παρέθηκας. ἀλλὰ καὶ θεάματα καὶ ἀκροάματα ἥδιστα παρέχεις. καὶ ὃς ἔφη τί οὖν εἰ καὶ μύρον τις ἡμῖν ἐνέγκαι. ἵνα καὶ εὐωδίᾳ ἑστιώμεθα. μηδαμῶς ἔφη ὁ σωκράτης. ὥσπερ γάρ τοι ἐσθὴς ἄλλη μὲν γυναικὶ ἄλλη δὲ ἀνδρὶ καλὴ

εἰμι, ἴστε πάντες. ἥκω δὲ προθύμως, νομίσας
γελοιότερον εἶναι τὸ ἄκλητον, ἢ τὸ κεκλημένον
ἐλθεῖν ἐπὶ τὸ δεῖπνον, κατακλίνου τοίνυν ἔφη καλ-
λίας, καὶ γὰρ οἱ παρόντες, σπουδῆς μὲν ὡς ὁρᾷς
μεστοί. γέλωτος δ' ἴσως ἐνδεέστεροι. δειπνούντων
δὲ αὐτῶν, ὁ φίλιππος γελοῖόν τι εὐθὺς ἐπεχεί-
ρει λέγειν, ἵνα δὴ ἐπιτελοίη, ὧνπερ ἕνεκα ἐκα-
λεῖτο ἑκάστοτε ἐπὶ τὰ δεῖπνα. ὡς δ' οὐκ ἐκίνησε
γέλωτα, τότε μὲν ἀχθεσθεὶς φανερὸς ἐγένετο·
αὖθις ὀλίγον ὕστερον, ἄλλο τι γελοῖον ἐβούλετο
λέγειν. ὡς δὲ οὐδὲ τότε ἐγέλασαν ἐπ' αὐτῷ,
ἐν τῷ μεταξὺ παυσάμενος τοῦ δείπνου συγκαλυ-
ψάμενος κατέκειτο. καὶ ὁ καλλίας. τί τοῦτ' ἔφη
ὁ φίλιππε. ἀλλ' ἢ ὀδύνη σε εἴληφε; καὶ ὃς ἀνα-
στενάξας, εἶπε· ναὶ μὰ Δί' ἔφη ὦ καλλία, μεγά-
λη γε. ἐπεὶ γὰρ γέλως ἐξ ἀνθρώπων ἀπόλωλεν,
ἔρρει τὰ ἐμὰ πράγματα, πρόσθεν μὲν γὰρ, τούτου
ἕνεκα ἐκαλούμην ἐπὶ τὰ δεῖπνα, ἵνα εὐφραί-
νοιντο οἱ συνόντες δι' ἐμὲ γελῶντες. νῦν δὲ,
τίνος ἕνεκα καὶ καλεῖ μέ τις. οὔτε γὰρ ἔγωγε σπου-
δάσαι ἂν δυναίμην μᾶλλον, ἤπερ ἀθάνατος γε-
νέσθαι, οὔτε μὴ ὡς ἀντικληθησόμενος καλεῖ
μέ τις. ἐπεὶ πάντες ἴσασιν, ὅτι ἀρχὴν οὐδὲ νο-
μίζεται εἰς τὴν ἐμὴν οἰκίαν δεῖπνον προσφέρε-
σθαι. καὶ

ὄμματα, οὕτω καὶ τότε τὸ αὐτολύκου κάλλος, πάντων εἷλκε τὰς ὄψεις πρὸς αὐτόν. ἔπειτα τῶν ὁρώντων, οὐδεὶς οὐκ ἔπασχέ τι τὴν ψυχὴν ὑπ' ἐκείνου. οἱ μέν γε σιωπηρότεροι ἐγίγνοντο. οἱ δὲ, καὶ ἐσχηματίζοντό πως. πάντες μὲν οὖν οἱ ἐκ θεῶν του κατεχόμενοι, ἀξιοθέατοι δοκοῦσιν εἶναι. ἀλλ' οἱ μὲν ἐξ ἄλλων πρὸς τὸ γοργότερόν τε ὁρᾶσθαι καὶ φοβερώτερον φθέγγεσθαι, καὶ σφοδρότεροι εἶναι φέρονται. οἱ δ' ὑπὸ τοῦ σώφρονος ἔρωτος ἔνθεοι, τά τε ὄμματα, φιλοφρονέστερον ἔχουσι. καὶ τὴν φωνὴν πρᾳοτέραν ποιοῦνται. καὶ τὰ σχήματα εἰς τὸ ἐλευθεριώτατον ἄγουσιν. ἃ δὴ καὶ καλλίας τότε διὰ τὸν ἔρωτα πράττων, ἀξιοθέατος ἦν τοῖς τετελεσμένοις τούτῳ τῷ θεῷ. ἐκεῖνοι μὲν οὖν, σιωπῇ ἐδείπνουν ὥσπερ τοῦτο ἐπιτεταγμένον αὐτοῖς ὑπὸ κρείττονός τινος. φίλιππος δ' ὁ γελωτοποιὸς κρούσας τὴν θύραν, εἶπε τῷ ὑπακούσαντι, εἰσαγγεῖλαι ὅς τις τε εἴη, καὶ διότι κατάγεσθαι βούλοιτο. συνεσκευασμένος τε παρεῖναι ἔφη πάντα τὰ ἐπιτήδεια, ὥστε δειπνεῖν τ' ἀλλότρια. καὶ τὸν παῖδα δὲ ἔφη πάνυ πιέζεσθαι, διά τε τὸ φέρειν μηδὲν, καὶ διὰ τὸ ἀνάριστον εἶναι. ὁ δὲ, στάς· ἴθι τῷ ἀνδρῶνι ἔνθα τὸ δεῖπνον ἦν εἶπεν. ὅτι μὲν γελωτοποιός

νοις τὰς ψυχὰς ὥσπερ ὑμῖν ὁ ἀνδρὼν κεκοσμη-
μένος εἴη μᾶλλον, ἢ εἰ στρατηγοῖς καὶ ἱππάρ-
χαις καὶ σπουδάρχαις. Καὶ ὁ Σωκράτης εἶπεν·
ἀεὶ σὺ ἐπισκώπτεις ἡμᾶς καταφρονῶν. ὅτι σὺ
μὲν Πρωταγόρᾳ τε, πολὺ ἀργύριον δέδωκας ἐπὶ
σοφίᾳ· καὶ Γοργίᾳ· καὶ Προδίκῳ, καὶ ἄλλοις πολ-
λοῖς· ἡμᾶς δ' ὁρᾷς αὐτουργούς τινας τῆς φιλο-
σοφίας ὄντας. Καὶ ὁ Καλλίας, καὶ πρόσθεν μέν
γε ἔφη ἀπεκρυπτόμην ὑμᾶς, ἔχων πολλὰ καὶ σο-
φὰ λέγειν. νῦν δὲ ἐὰν παρ' ἐμοὶ ἦτε, ἐπιδείξω
ὑμῖν ἐμαυτὸν, πάνυ πολλῆς σπουδῆς ἄξιον ὄντα.
οἱ οὖν ἀμφὶ τὸν Σωκράτην, πρῶτον μὲν ὥσπερ εἰ-
κὸς ἦν ἐπαινοῦντες τὴν κλῆσιν, οὐχ ὑπισχνοῦντο
συνδειπνήσειν. ὡς δὲ πάνυ ἀχθόμενος φανε-
ρὸς ἦν εἰ μὴ ἕψοιντο, συνηκολούθησαν. ἔπειτα
δὲ αὐτῷ, οἱ μὲν, γυμνασάμενοι καὶ χρισάμενοι
οἱ δὲ καὶ λουσάμενοι, παρῆλθον. Αὐτόλυκος
μὲν οὖν, παρὰ τὸν πατέρα ἐκαθέζετο. οἱ δὲ ἄλλοι,
ὥσπερ εἰκὸς κατεκλίθησαν. εὐθὺς μὲν οὖν ἐννοή-
σας τὰ γιγνόμενα, ἡγήσατ' ἂν φύσει βασιλικόν
τι κάλλος εἶναι. ἄλλως τε καὶ ἢν μετ' αἰδοῦς
καὶ σωφροσύνης καθάπερ Αὐτόλυκος, τότε κέκτη-
ταί τις αὐτό. πρῶτον μὲν γὰρ ὥσπερ ὅταν φέγ-
γος τι ἐν νυκτὶ φανῇ πάντων προσάγεται τὰ

ὄμματα,

ΞΕΝΟΦΩΝΤΟΣ ΡΗΤΟΡΟΣ

συμπόσιον.

Αλλ' ἐμοὶ δοκεῖ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἔργα οὐ μόνον τὰ μετὰ σπουδῆς πραττόμενα ἀξιομνημόνευτα εἶναι, ἀλλὰ καὶ τὰ ἐν ταῖς παιδιαῖς. οἷς δὲ παραγενόμενος ταῦτα γιγνώσκω, δηλῶσαι βούλομαι. ἦν μὲν γὰρ παναθηναίων τῶν μεγάλων ἱπποδρομία. καλλίας δὲ ὁ ἱππονίκου, ἐρῶν ἐτύγχανεν αὐτολύκου παιδὸς ὄντος. καὶ νενικηκότα αὐτὸν παγκράτιον, ἧκεν ἄγων ἐπὶ τὴν θέαν· ὡς δὲ ἡ ἱπποδρομία ἔληξεν, ἔχων τόν τε αὐτόλυκον καὶ τὸν πατέρα αὐτοῦ, ἀπῄει εἰς τὴν ἐν πειραιεῖ οἰκίαν. συνείπετο δὲ αὐτῷ, καὶ νικήρατος, ἰδὼν δὲ ὁμοῦ ὄντας, σωκράτην τε καὶ κριτόβουλον· καὶ ἑρμογένην. καὶ ἀντισθένην καὶ χαρμίδην τοῖς μὲν ἀμφ' αὐτόλυκον, ἡγεῖσθαί τινα ἔταξεν. αὐτὸς δὲ προσῆλθε τοῖς ἀμφὶ σωκράτην καὶ εἶπεν, εἰς καλόν γε ὑμῖν συντετύχηκα. ἑστιᾶν γὰρ μέλλω αὐτόλυκον καὶ τὸν πατέρα αὐτοῦ. οἶμαι οὖν πολὺ ἂν τὴν κατασκευήν μοι λαμπροτέραν φανῆναι, εἰ ἀνδράσιν ἐγκεκαθαρμέ-

rentia menſæ. Cũ ergo, mi ſuauiſsime Brenti, hoc ſecu lo paſsim nõ tam ſtrennue certetur armis q̃ poculis; di gladientur etiã fœde inter ſe multi theologi, ut, quo quo te uertas, nihil aliud quàm miſerandas armorum, & turpes poculorum, & ignominioſas uerborum pugnas ſpectes, & ego te ab his omnibus extreme ab horrere non ignoro, uolui hoc elegans, ſedatum, tem perans & ſobrium belliſsimorum hominum ſympoſiũ tibi homini belliſsimo, neq; non pacis ac ſobrietatis amatori dono mittere, ut haberes non quod tibi meã probaret munificentiam (nulla enim liberalitas eſt alie na largiri) ſed quod animi in te mei ſtudium & bene uolentiam qualicunq; ratione tibi declararet. In hoc ergo quoties grauiorum ſtudiorum obſaturaberis, animi gratia digredere, ac temet ſuauiſsimorum combibonum colloquio oblecta. Vale in Domino fœliciſsime. Ex Onoltz pachio, menſe Iulio,

Anno

M. D, XXXI.

nõ inamœnam repræſentaret, ad cuius amuſsim & regulam, nos quoq; qui cũ Muſis rationem habemus, noſtras compotationes emendaremus. Siquis enim noſtra ſympoſia cum horum ſenum ac Philoſophorum ſympoſio compoſuerit, Deum immortalem, quàm nullam horum affinitatem comperiet. Quantum enim in noſtris barbariei inueniet, quantum ineruditionis, tumultus, clamoris, inſaniæ, quantam uerborum obſcenitatem, quantã intemperantiã, quam gulam, quam crapulam, quã non ingluuiem, breuiter, quantam omniũ rerum inciuilitatem & inelegantiam, ut quiduis potius quàm conuiuium eſſe dicas. Contra, quid non in horũ ſympoſio ciuilitatis & temperantiæ, quid non iocorũ quibus nihil eſſe poteſt eruditius, quàm non uerborum iucunditatem, & fabularum atq; ſermonum amœniſsimam gratiam, uenerem & elegantiam. Tametſi nec his prorſus deſit ſenibus, quod praue intellectum aut temere expoſitum puris & caſtis moribus poſsit officere, præſertim quo in loco Socrates cum Syracuſio diſputat, tum in fine περὶ τῶν παιδικῶν, ſed hæc ſat ſcio cordatum Lectorem non offendent, non ignorantem aliquid conuiuiorum feſtiuitati atq; licentiæ condonandum eſſe. Vtinam uero apud nos non audirent turpiora aut fœdiora pueri, ſed profecto in his omnibus multo gentilibus nos ſumus liberiores & impudentiores, adeo nullus uerbis pudor ineſt & reue-

extitit, te quoq; conuiuam καὶ συμπότην *lubentem ac hilarem fac precor exhibeas. Ad alterius menſam te inuitaui, fateor, ſed facio quod non pauci ſolent, qui cum ipſi præ inopia rei familiaris penum ieiune inſtructum domi poßideant, à uicinis mutuo ſumunt, unde amicos ſuos aliquanto lautius ſuſcipiant. Cæterum in hoc noſtro ſympoſio, ſi quantum ad externa gulæ irritamenta, hoc eſt, cupedias & lautitias attinet, parum oppipare & apparate accipieris, ſermone tamen bene cocto & condito, ni fallor, uehementer delectaberis. Et hunc tuæ gulæ ac palato affatim ſatisfacturum confido. Neq; enim aut faſtidioſe delicatus es, aut helluo quiſpiam patinarius, ſed hoſpes magis delicatis & perpurgatis auribus, quàm nauſeabundo ſtomacho, qui ſuauibus potius fabulis, quàm ſumptuoſis dapibus paſci atq; expleri deſyderet. Iam quid multis tibi prædicem huius ſympoſij ornatū atq; ſplendorem, quod tanto uerborum nitore, tanta ſententia grauitate, ea iocorum & facetiarum feſtiuitate & elegantia conſcriptum eſt, ut nihil ſit ultra. Sed enim quid unquàm æditum ad poſteros tranſmiſit Xenophon, quod non omnibus eruditionis & eloquentiæ punctis fuiſſet abſolutißimum? Atq; hæc una cauſſa fuit, cur exiſtimarim inuulgandum eſſe hoc, quod & ſumme eſſet elegans, & nobis priſcorum conuiuiorum & conuiualium diſputationum imaginem quandā*

non

VINCENTIVS
OBSOPOEVS CLARISSIMO
Viro D. Iohanni Brentio, Theologo & Eccleſiaſtæ in Hala Sueuorum Salutem.

CVM NVPER MENSE Decembri apud nos eſſes Onoltzpachij, Brenti Suauiſs. neq; te pro iure hoſpitalitatis ullo honore honeſtare potuiſſem, ac ne ſermonem quidem tecum ſociare familiarius, propter abitionem tuã præproperam, uix enim nobis à limine, quod aiunt, recte conſalutatis, iterum in uiam te dediſti, excuſans temporis anguſtiam, non ferentem te à tuis abeſſe diutius, quòd in foribus eſſet Natalis Domini: uiſum eſt mihi te abſentem cœna aliqua accipere, non illa quidem quæ in mea culina, qua nihil eſt frigidius, nihil eſurientius, cocta aut apparata ſit, ſed longe luxurioſiore & pinguiore, nimirũ Xenophontis pemmaturgi & cupedinarij illius mellitiſſimi, ut hoſpitalitatis ſignificationem quamlibet tenuem tibi de me præſtarem, & inhumanitatis uituperationem effugerem. Adeſto itaq; benignus ac facilis, eiuſq; ſympoſij, cuius non ego, ſed alius ſympoſiarcha

ΝΙΚΗΤΗΣ ΟΥΟ-
πιὸς ἀναγνωστής.

Ἤνιδε συμπόσιον μὲν ἀβακχεύτοιο τραπέζης
οὗ ταμίης Ξενοφῶν ἔπλετο δαιτοπόνος
πρὸς τόδε πουλυμεθεῖς κικλήσκειν οἰνοποτῆρας
οὐ χρέος, ἔχθοντας δαῖτα μὲν ἄβρομον.
τοῖς γὰρ ζωροποτοῦσιν ἀεὶ φιλάκρητα μέμηλεν
καὶ μάλα δὴ εἰλαπίνης ἔργα κυπελλομάχου.
ἐνθάδε δ' οὐ τελέωμεν ἐγερσιγέλωτι Λυαίῳ
ὄργια, νηφαλέας ἀλλὰ μάλ' ἑστιάσεις.
οὐκοῦν χανδοπόται μακρὸν χαίροντες ἑταῖροι
τοῦδ' ἀποχωρεῖτε τηλόθι συμποσίου.

ALIVD EIVSDEM.

Huc ſi ieiuno ſtomacho conuiua uocatus
Veneris, & nimia uentre latrante famo.
Incœnatus eris, neq; non ſitibundus abibis
Vtq; lupus plane decipi ris hians.
Ergo ne fallaris, uenias ſed uentre quieto,
Et ſic purgatis auribus iſta legas.
Non eadem uentrem ſatiant & pectus & aures,
Verba uolunt aures, uenter habere dapes.

ΞΕΝΟΦΩΝ-
ΤΟΣ ΣΥΜΠΟΣΙΟΝ.

34-4-A-8

XENOPHONTIS
Sympoſium, eruditum, iucundum & elegans.

Bibl: Sec Coll: Rom: Soc Jesu

ΕΠΙΤΟΜΟΣ ΔΙΗΓΗΣΙΣ
εἰς τὰς καθ᾽ ὅμηρον πλάνας τοῦ ὀδυσ-
σέως μετά τινος θεωρίας ἠθικωτέ-
ρας φιλοπονηθεῖσα.

COMPENDIOSA EX-
*plicatio in errores Vlyßis odyſſeæ Home-
ricæ, cum contemplatione morali
elaborata, opera ac ſtudio
Vincen. Obſopœi
ædita.*

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

*Haganoæ, per Iohannem Secerium,
Anno M. D. XXXI.
Menſe Iulio.*